38. Ψήφισμα[2] χαραγμένον ἐπὶ τῆς δεξιᾶς πλευρᾶς τοῦ ἐπικράνου τοῦ βάθρου τοῦ ἀγάλματος τῆς Μετέλλης (πίν. 59γ). Ὕψος γραμμάτων 0.01.

Δημήτριος Μνασίλλου εἶπεν· προβεβουλευμένον εἶναι αὐτῶι πρὸς τὴ[ν βουλὴν]
καὶ τὸν δῆμον· ἐπειδὴ Ἀμφικλῆς Φιλοξένου Δήλιος εὔνους ὢν διατελεῖ τεῖ τε πόλ[ει κοινεῖ]
καὶ τῶν πολιτῶν τοῖς ἀεὶ δεομένοις χρείας παρέχεται ἐν παντὶ καιρῶι καὶ λέ[γων καὶ]
πράττων τὰ συμφέροντα, ἐπιδημήσας τε παρ' ἡμῖν ἀκροάσεις καὶ πλείους πεπόηται, δε[δόχθαι]
τεῖ βουλεῖ καὶ τῶι δήμωι Ἀμφικλῆν Φιλοξένου Δήλιον ἐπαινέσαι ἐπί τε τεῖ πρὸς τὴν πό[λιν εὐνοίαι]

---

1 FEYEL, Polybe, σ. 282 σημ. 3. Βλ. καὶ ἀνωτέρω σ. 33 καὶ 36.
2 IG VII 373· MICHEL 206.

6 *καὶ ταῖς ἀκροάσεσιν καὶ ἐπὶ τεῖ ἀναστροφεῖ εἶναι δ' αὐτὸν πρόξενον καὶ εὐεργέτην τῆ*[ς πόλεως]
*Ὠρωπίων καὶ αὐτὸν καὶ ἐκγόνους καὶ εἶναι αὐτοῖς γῆς καὶ οἰκίας ἔγκτησιν καὶ ἰσοτέ*[λειαν]
*καὶ ἀσυλίαν καὶ πολέμου ὄντος καὶ εἰρήνης καὶ τἆλλα πάντα ὑπάρχειν αὐτοῖς καθά*[περ τοῖς]
9 *ἄλλοις προξένοις καὶ εὐεργέταις τῆς πόλεως γέγραπται.*

Ὁ προβουλευματικὸς τύπος τὸν ὁποῖον παρουσιάζει τὸ ἐνταῦθα ψήφισμα σημαίνει ὅτι τὸ σχέδιον αὐτοῦ ἔχει ὑποβληθῆ εἰς ἐξέτασιν καὶ ἔγκρισιν ὑπὸ τῆς βουλῆς καὶ ὅτι ἔχει δοθῆ ὑπ' αὐτῆς ἡ ἄδεια νὰ ὑποβληθῇ ἡ ἐγκριθεῖσα πρότασις εἰς τὴν ψῆφον τοῦ λαοῦ [1].

Ὁ Ἀμφικλῆς τιμᾶται [2] ὡς πρόξενος τῶν Ἀθηναίων τῆς Δήλου ἐπὶ Πέλοπος ἄρχοντος (165-164 π.Χ.) ἐπειδὴ *ἀκροάσεις καὶ πλείους ἐποήσατο καὶ προσόδιον γράψας ἐμμελὲς εἰς τὴν πόλιν, τούς τε θεοὺς τοὺς τὴν νῆσον κατέχοντας καὶ τὸν δῆμον τῶν Ἀθηναίων ὕμνησεν, ἐδίδαξεν δὲ καὶ τοὺς τῶν πολιτῶν παῖδας πρὸς λύραν τὸ μέλος ᾄιδειν.*

Εἰς τὸ ψήφισμα τῆς Δήλου ὁ Ἀμφικλῆς ὀνομάζεται *Ῥηναεὺς* ἐνῷ ὑπὸ τῶν Ὠρωπίων καλεῖται *Δήλιος*· τοῦτο ἑρμηνεύεται ὡς ἔνδειξις τῆς ἀνεξαρτησίας τοῦ Ὠρωποῦ ἔναντι τῶν Ἀθηνῶν καὶ τῆς συμπαθείας του πρὸς τοὺς καταπιεζομένους ὑπὸ τῶν Ἀθηναίων Δηλίους.

Ἐπιγραφαὶ σχετικαὶ πρὸς τὸ Ἱερὸν καὶ τὴν πόλιν. Ἡ κατηγορία τῶν ἐνταῦθα ὁριζομένων ἐπιγραφῶν εἶναι ἡ σπουδαιοτέρα διὰ τὴν μελέτην τῶν θεμάτων τοῦ Ὠρωποῦ. Ἂν αἱ ἀναθηματικαὶ ἐπιγραφαὶ καὶ τὰ προξενικὰ ψηφίσματα μᾶς πληροφοροῦν διὰ τὰς ἐξωτερικὰς σχέσεις τῆς πόλεως καὶ τὴν ἀκτινοβολίαν τοῦ Ἱεροῦ, τὰ ἀκολουθοῦντα κείμενα διασώζουν γνησίας ἱστορικὰς πολλάκις λεπτομερείας, διὰ τῶν ὁποίων ἀναπληροῦται μερικῶς τὸ ἐκ τῶν ἱστορικῶν καὶ φιλολογικῶν κειμένων κενόν.

39. Στήλη [3] μετὰ κυματίου καὶ ἄβακος ἄνω, τεθραυσμένη εἰς τρία τεμάχια καὶ συγκεκολλημένη (πίν. 60α), ὕψους 1.45, πλάτους 0.43-0.46, πάχους 0.095 μ. Ὕψος γραμμάτων 0.01· στοιχηδὸν 35.

---

1 PAUL ROESCH, Thespies et la Confédération Béotienne, σ. 128.

2 Inscr. Délos 1497· Syll.³ 662. Περὶ τῆς λέξεως *ἀκρόασις*, ἀναγνώσεως δημοσίᾳ λογοτεχνικοῦ ἔργου, βλ. Hellenica 2, σ. 34-36.

3 Ἡ καλυτέρα δημοσίευσις τῆς ἐπιγραφῆς εἶναι ἡ δευτέρα τοῦ ΛΕΟΝΑΡΔΟΥ, ΑΕ 1917, σ. 231 ἀρ. 93 εἰκ. 1, ὅπου καὶ ἡ παλαιοτέρα βιβλιογραφία.

*Θεοί·*
*τὸν ἱερέα τοῦ Ἀμφιαράου φοιτᾶν εἰς τὸ ἱερό-*
*ν, ἐπειδὰν χειμὼν παρέλθει, μέχρι ἀρότου ὥρ-*
*ης, μὴ πλέον διαλείποντα ἢ τρεῖς ἡμέρας καὶ*
*μένειν ἐν τοῖ ἱεροῖ μὴ ἔλαττον ἢ δέκα ἡμέρα-*
*ς τοῦ μηνὸς ἑκ(ά)στο: καὶ ἐπαναγκάζειν τὸν ν-*
*εωκόρον τοῦ τε ἱεροῦ ἐπιμελεῖσθαι κατὰ τὸ-*
*ν νόμον καὶ τῶν ἀφικνεμένων εἰς τὸ ἱερόν·*
*ἂν δέ τις ἀδικεῖ ἐν τοῖ ἱεροῖ ἢ ξένος ἢ δημότ-*
*ης, ζημιούτω ὁ ἱερεὺς μέχρι πέντε δραχμέων*
*κυρίως καὶ ἐνέχυρα λαμβανέτω τοῦ ἐζημιωμ-*
*ένου· ἂν δ' ἐκτίνει τὸ ἀργύριον, παρεόντος τ͡ο*
*ἱερέος ἐμβαλέτω εἰς τὸν θησαυρόν ⁝ δικάζει-*
*ν δὲ τὸν ἱερέα, ἄν τις ἰδίει ἀδικηθεῖ ἢ τῶν ξέ-*
*νων ἢ τῶν δημοτέων ἐν τοῖ ἱεροῖ μέχρι τριῶν*
*δραχμέων τὰ δὲ μέζονα, ἧχοι ἑκάστοις αἱ δίκ-*
*αι ἐν τοῖς νόμοις εἰρῆται, ἐντ͡οθα γινέσθων*
*προσκαλεῖσθαι δὲ καὶ αὐθημερὸν περὶ τῶν ἐ-*
*ν τοῖ ἱεροῖ ἀδικιῶν, ἂν δὲ ὁ ἀντίδικος μὴ συνχ-*
*ωρεῖ, εἰς τὴν ὑστέρην ἡ δίκη τελείσθω ⁝ ἐπαρ-*
*χὴν δὲ διδοῦν τὸμ μέλλοντα θεραπεύεσθαι ὑ-*
*πὸ τοῦ θεοῦ μὴ ἔλ(α)ττον ἐννέ' ὀβολοὺς δοκίμου ἀργ-*
*υρίου καὶ ἐμβάλλειν εἰς τὸν θησαυρὸν παρε-*
*όντος τοῦ νεωκόρου* / / / / / / / / / [19] / / / / / /
/ / / / / [9] / / / / / *κατεύχεσθαι δὲ τῶν ἱερῶν καὶ ἐπ-*
*ὶ τὸν βωμὸν ἐπιτιθεῖν, ὅταν παρεῖ, τὸν ἱερέα,*
*ὅταν δὲ μὴ παρεῖ, τὸν θύοντα καὶ τεῖ θυσίει α-*
*ὐτὸν ἑαυτοῖ κατεύχεσθαι ἕκαστον, τῶν δὲ δη-*
*μορίων τὸν ἱερέα τῶν δὲ θυομένων ἐν τοῖ ἱε-*
*ροῖ πάντων τὸ δέρμα* / / / / / [10] / / / / / *θύειν δὲ ἐξ-*
*εῖν ἅπαν ὅ τι ἂν βόληται ἕκαστος· τῶν δὲ κρεῶ-*
*ν μὴ εἶναι ἐκφορὴν ἔξω τοῦ τεμένεος τοῖ δὲ*
*ἱερεῖ διδοῦν τὸς θύοντας ἀπὸ τοῦ ἱερήου ἑκ-*
*άστο τὸν ὦμον, πλὴν ὅταν ἡ ἑορτὴ εἶ· τότε δὲ ἀπ-*
*ὸ τῶν δημορίων λαμβανέτω ὦμον ἀφ' ἑκάστου*
*τοῦ ἱερήου· ἐγκαθεύδειν δὲ τὸν δειόμενο-*
*ν μ*[έ]*χ̣ρ̣ι̣* / / / / / / / / / / [23] / / / / / / / / / / *ς̣ ἐπ̣ὶ τ̣ο̣-*
*ῦ αὐ*[το]*ῦ̣* / / / / / / / / / / [23] / / / / / / / / / / *πειθόμ-*

39 *ενον τοῖς νόμοις· τὸ ὄνομα τοῦ ἐγκαθεύδον-*
*τος, ὅταν ἐμβάλλει τὸ ἀργύριον, γράφεσθαι τ-*
*ὸν νεωκόρον καὶ αὐτοῦ καὶ τῆς πόλεος καὶ ἐκ-*
42 *τιθεῖν ἐν τοῖ ἱεροῖ γράφοντα ἐν πετεύροι σ-*
*κοπεῖν (τ)οῖ βολομένοι· ἐν δὲ τοῖ κοιμητηρίο-*
*ι καθεύδειν χωρὶς μὲν τὸς ἄνδρας, χωρὶς*
45 *δὲ τὰς γυναῖκας, τοὺς μὲν ἄνδρας ἐν τοῖ πρὸ ἡ-*
[ο͂]ς *τοῦ β*[ω]*μοῦ, τὰς* [δ]*ὲ γυναῖκας ἐν τοῖ πρὸ ἡσπέ-*
*ρης ο* [...... 12 .... τὸ κοι]*μητήριον τοὺς ἐν-*
48 *κα(θ)* [εὕδοντας ....... 15 ...... τὸν δ]*ὲ θεὸν*
*ἐγκ* [.............. 32 ..............]
ΟΕΞ [.............. 29 ............] ΘΩ[.]
51 ΟΡΟ [.............. 24 ....... ἐγκεκ]*οιμ-*
*ημέ*[ν .............. 29 ............]ΛΕ
ΡΟΩ [.............. 28 ..........]*εν* [τ]*ο-*
54 *ῖ Ἀμφ*[ιαράοι ........ 21 ..........]*ι ζημ-*
*ιου* [.............. 28 ..........] *δὲ τό-*
*ν βολ*[όμενον ......... 16 ..... τὸν ἱε]*ρέ(α)*

Ὁ ἱερὸς οὗτος νόμος, περὶ τοῦ ὁποίου κατ᾽ ἐπανάληψιν ἐγένετο λόγος εἰς τὰς προηγουμένας σελίδας, εἶναι ἡ παλαιοτέρα (ἐκτενὴς) καὶ ἡ σπουδαιοτέρα ἐπιγραφὴ ἐξ ὅσων εὑρέθησαν εἰς τὸ Ἱερόν. Ἐκ τοῦ σχήματος τῶν γραμμάτων καὶ τῆς γλωσσικῆς μορφῆς της χρονολογεῖται εἰς τὰ τέλη τοῦ 5ου αἰῶνος π.Χ. ἢ τὰς ἀρχὰς τοῦ 4ου, εἰς περίοδον ἀνεξαρτησίας τοῦ Ὠρωποῦ (411-402 ἢ 386-377 π.Χ.). Πιθανωτέρα χρονολογία ὅμως εἶναι ἡ δευτέρα [1].

Γλωσσικῶς τὸ κείμενον τῆς ἐπιγραφῆς παρουσιάζει ἐπιδράσεις ἐκ τῆς Ἐρετρίας (στ. 17 *εἰρῆται*, 21 *διδοῦν*, 30 *ἐξεῖν*, 35 *δημορίων*) καὶ ἐκ τῆς Βοιωτίας (στ. 5 *ἐν τοῖ ἱεροῖ*, 8 *ἀφικνεμένων*, 17 *ἐντο͂θα*, 22 *ἔλαττον*), αἱ ὁποῖαι πιστοποιοῦν τὰς παλαιὰς καὶ ἰσχυρὰς σχέσεις τοῦ Ὠρωποῦ μὲ τοὺς γειτονικοὺς τόπους τῆς Ἐρετρίας καὶ τῆς Βοιωτίας.

Ὁ *θησαυρός*, τὸ χρηματοκιβώτιον τοῦ Ἱεροῦ, ἦτο, ὡς γνωρίζομεν ἐξ ἄλλων περιπτώσεων, μεγάλος καὶ δυσμετακόμιστος λίθος, κενὸς ἐσωτερικῶς καὶ φέρων μεταλλικὸν κάλυμμα. Ἐπὶ τοῦ καλύμματος ὑπῆρχε σχισμή, διὰ τῆς ὁποίας εἰσήρχοντο τὰ ριπτόμενα νομίσματα [2]. Ὁ θη-

1 Βλ. Syll.³ 1004 σημ. 1.
2 BCH 64/65, 1940/41, σ. 161 ἑξ.· BCH 70, 1946, σ. 367.

σαυρὸς ἀναφέρεται καὶ εἰς τὴν ἐπιγραφὴν ΕΠ ἀρ. 45, ὅπου τὰς κλεῖδας κρατεῖ ὁ συλλογεύς.

Εἰς τὸν στίχον 22 ὑπάρχει λάξευμα καὶ ἐπ' αὐτοῦ ἔχουν γραφῆ τὰ γράμματα ΕΝΝΕΟΒΟΛΟΥΣΔΟΚΙ· Ἐκ τούτου φαίνεται ὅτι, ὅταν ἐγράφη ἡ ἐπιγραφή, ἡ τιμὴ τῆς ἀπαρχῆς ἦτο μικροτέρα ἀλλ' ἡ ἀλλαγὴ τῶν οἰκονομικῶν συνθηκῶν ἐπέβαλεν αὔξησιν, ἡ ὁποία, ἂν κρίνωμεν ἐκ τοῦ σχήματος τῶν γραμμάτων τῆς ὑπαρχούσης ἀπαρχῆς, ἐγένετο ὀλίγον χρόνον μετὰ τὴν ἵδρυσιν τῆς στήλης. Οὕτω ἐλαξεύθη ἡ παλαιὰ ἀπαρχή, μία δραχμὴ κατὰ τὸν Wilamowitz [1], καὶ ἐπὶ τῆς θέσεώς της ἐγράφη ἡ νέα.

Περὶ τοῦ ἱερέως καὶ τοῦ νεωκόρου λόγος ἐγένετο ἀνωτέρω ἐν σ. 129 ἑξ., περὶ δὲ τοῦ πρώτου κοιμητηρίου τοῦ Ἱεροῦ, τὸ ὁποῖον ὑπονοεῖται ἐνταῦθα, ἐν σ. 93 ἑξ.

40. Στήλη [2] μὲ ἁπλοῦν ἄγλυφον ἀέτωμα, τεθραυσμένη εἰς δύο τεμάχια καὶ συγκεκολλημένη, ὕψους 0.83, πλάτους 0.28, πάχους 0.06 μ. Ὕψος γραμμάτων 0.003-0.005 (πίν. 60β).

*Θ ε ο ί.*
*Ἐν Ἀμφιαράου ἐκ τοῦ λουτρῶνος τοῦ <αν> ἀνδρείο-*
*[υ], ὅπως ἂν τὸ ὕδωρ μὴ κωλύηται ῥεῖν ὑπὸ τῆς χ-*
*αράδρας, ὅ[τ]αν ῥεῖ, ἀλλ' εἶ χρήσιμος ὁ λουτρών, ὅ-*
*ταν χειμάζει ὁ θεός, ὀχετὸμ ποῆσαι λίθινον κ-*
*ρυπτόν, τὸ μὲν μῆκος ἀρξάμενον ἀπὸ τοῦ στρ-*
*ώματος τοῦ τῆς γεφύρας μέχρι τῆς καταβάσ-*
*ε[ι]ω[ς] τῆς παρὰ τὸν γυναικεῖον λουτρῶνα, τά-*
*φρον ὀρύξαντα μῆκος μὲν τὸ γεγαρμμένον, πλ-*
*άτος δὲ ἀπὸ τοῦ ἀναλήμματος τοῦ τῆς χαρά-*
*δρας τεττάρων ποδῶν, βάθος δὲ τρίπουν, θήσει λ-*
*ίθους τοὺς μὲν ἐν τῶι ἐδάφει φορμηδὸν συντιθ-*
*εὶς πρὸς ἀλλήλους ἁρμόττοντας καὶ εἰς ἕδραν*
*ἀσκάστους κατακρούων τὸν λίθον ἕκαστον*

---

1 Hermes 21, 1886, σ. 92 σημ. 22. Ὁ Λεοναρδος διαπραγματεύεται διεξοδικῶς τὸ θέμα ἐν ΑΕ 1917, σ. 233 ἑξ.

2 Λεοναρδος, ΑΕ 1891, σ. 73 ἀρ. 34· IG VII 4255· Syll.[3] 973. Συστηματικῶς ἐξετάζει τὰ προβλήματα τῆς ἐπιγραφῆς ὁ Lattermann, AM 35, 1910, σ. 81-102. Ὁ R. Ginouvès, Balaneutikè, σ. 348 σημ. 9 ἀναφέρει τὴν γνώμην τοῦ G. Roux, ὅτι τὰ λουτρὰ τῶν ἀνδρῶν πρέπει νὰ εὑρίσκωνται δυτικῶς τοῦ ναοῦ. Περὶ τῆς εἰκασίας αὐτῆς βλ. ἀνωτέρω σ. 77.

*μολύβδωι ἢ λίθωι, ἐπικόψας δὲ κατὰ κεφαλὴν καὶ σ-*
*υνομαλίσας πρὸς τὴν καταφορὰν ὅπως <ς> ἂν εἶ*
*εὖρον ἐπιθήσει ἐπὶ τούτων ἐξεργασμένους*
*τῶν λίθων τὰς ἕδρας ὀρθὰς καὶ ἀστραφεῖς καὶ* [τ]-
*οὺς ἁρμοὺς ὅλους, τὰ δὲ μέτωπα ἀναπελεκήσ-*
*ει εὐτενῆ, θήσει δὲ τοὺς λίθους ὀρθοὺς ἐπὶ τὰ τ-*
*ριημιπόδια διαλείπων διάρρουν πλάτος ποδός,*
*θήσει δὲ εἰς ἕδραν ἀσκάστους* [καὶ] *πρὸς ἀλλήλ-*
*ους ἁρμόττοντας, συμβ*[άλλων] *τοὺς ἁρμοὺς*
*ὅλους, ἐπικόψας δὲ κατὰ κεφαλὴν εὐτενῆ συ-*
*νστώρσει λίθοις συντιθεὶς πρὸς ἀλλήλους ἁ-*
*ρμόττοντας καὶ εἰς ἕδραν ἀσκάστους τιθεὶς*
[ἀρτ]*ιλιθίαν μηδαμοῦ ποιῶν, παρασάξει δὲ τοὺς*
*λί(θ)ους ἅπαντας γεῖ τεῖ ἐκ τῆς τάφρου, λί(θ)οις*
*δὲ χρήσεται τοῖς ἐκ τοῦ θεάτρου τοῦ κατὰ τ-*
ὸ[μ] *βωμόν, προσαγόμενος αὐτὸς αὐτῶι πρὸ-*
*ς τὸ ἔργον, ἐὰν δὲ μὴ ἱκανοὶ ὦσιν, παρέξουσιν*
*ὅσων ἂν προσδεῖ οἱ ἐπιμεληταὶ πρὸς τῶι ἔργω-*
*ι· ἀναιρήσεται δὲ τὸ ἔργον κατὰ τετραποδίαν κα-*
*ὶ ἀποδώσει τέλος ἔχον εἴκοσι ἡμερῶν ἀφ' ἧς ἂν*
*λάβει τὸ ἀργύριον· ἐμισθώσατο τὴν τετραπο-*
*δίαν* ΠͰ· *μισθωτὴς Φρῦνος Ἀλωπεκῆσι οἰκῶν· ἐγγ-*
*υητὴς Τελεσίας Τελλίου Εὐωνυμεύς.*

Ἡ ἀνωτέρω οἰκοδομικὴ ἐπιγραφή, ἀθηναϊκὸν ψήφισμα τῆς περιόδου 338-322 π.Χ., προβλέπει τὴν κατασκευὴν ὑπονόμου ἀπὸ τῶν ἀνδρικῶν λουτρῶν μέχρι τῆς ὁδοῦ *(καταβάσεως)*, ἡ ὁποία ὡδήγει ἐκ τῶν γυναικείων λουτρῶν εἰς τὸν χείμαρρον. Ὁ ὑπόνομος οὗτος σκοπὸν εἶχε τὴν ἀποχέτευσιν τῶν ἀκαθάρτων ὑδάτων τῶν ἀνδρικῶν λουτρώνων εἰς ἱκανὴν ἀπ' αὐτῶν ἀπόστασιν, διότι, ὡς δύναταί τις νὰ διαπιστώσῃ καὶ σήμερον, κατὰ τὴν περίοδον τῶν βροχῶν *(ὅταν χειμάζει ὁ θεός)*, ὁ χείμαρρος ἔφερε μεγάλας ποσότητας ὑδάτων λίθων καὶ κλάδων μετὰ ξηρῶν φύλλων δένδρων καὶ ἔφραττε τὰς ἀποχετεύσεις τοῦ ἀνδρικοῦ λουτρῶνος, ὁ ὁποῖος ἠχρηστεύετο. Ἐκ τούτου εἶναι φανερὸν ὅτι καὶ κατὰ τὸν χειμῶνα τὸ Ἱερὸν εἶχε σημαντικὴν κίνησιν καὶ ἐγίνετο ἔντονος χρῆσις τῶν λουτρώνων, ἀφ' οὗ ἐχρειάσθη νὰ ληφθῇ τόση φροντὶς διὰ νὰ ἀποφευχθῇ ἡ ἀχρήστευσις αὐτῶν κατὰ τὴν σύντομον περίοδον τῆς μεγάλης κακοκαιρίας.

Τὸ ἀνάλημμα τὸ ὁποῖον ἐπροστάτευε τὸ Ἱερὸν ἀπὸ τοῦ χειμάρρου δὲν

σώζεται. Ἤρχιζεν ἀπὸ τοῦ μεγάλου ναοῦ περίπου καὶ ἔφθανε μέχρι τῆς ἀνατολικῆς ἄκρας τοῦ σταδίου.

Ὁ Τελλίας Εὐωνυμεύς, πατὴρ τοῦ ἐνταῦθα ἐγγυητοῦ, εἶχεν ἀναθέσει ἑρμαϊκὴν στήλην εἰς τὸν Ἑρμῆν, συμφώνως πρὸς ἐπίγραμμα τῆς Ἀνθολογίας [1], τὸ ὁποῖον ἀποδίδεται εἰς τὸν Ἀνακρέοντα.

Ἡ ἀνωτέρω ἐπιγραφή, ἐκτὸς τοῦ εἰδικοῦ διὰ τὸ Ἀμφιάρειον ἐνδιαφέροντος, παρουσιάζει καὶ γενικώτερον τοιοῦτον, ἀπὸ τῆς ἀπόψεως ἐκτελέσεως οἰκοδομικῶν ἔργων κατὰ τὴν ἀρχαιότητα. Διὰ τὴν πληρεστέραν κατανόησίν της παρατίθεται κατωτέρω μετάφρασις πιστή, κατὰ τὸ δυνατόν.

«Θεοί.

Διὰ νὰ μὴ ἐμποδίζηται ὑπὸ τοῦ χειμάρρου, εἰς τὸ Ἱερὸν τοῦ Ἀμφιαράου, τὸ ὕδωρ νὰ ρέῃ ἐκ τοῦ λουτρῶνος τῶν ἀνδρῶν ὅταν ρέῃ (ὅταν γίνεται χρῆσις τοῦ λουτρῶνος), ἀλλὰ διὰ νὰ εἶναι χρησιμοποιήσιμος ὁ λουτρὼν εἰς περίπτωσιν μεγάλων βροχῶν κατὰ τὸν χειμῶνα, θὰ κατασκευασθῇ ὀχετὸς λίθινος, ὑπόγειος, τοῦ ὁποίου τὸ ἓν ἄκρον θὰ ἀρχίζῃ ἀπὸ τοῦ θεμελίου τῆς γεφύρας τὸ δὲ ἕτερον θὰ φθάνῃ μέχρι τῆς κατωφερικῆς ὁδοῦ πλησίον τῶν λουτρῶν τῶν γυναικῶν. Θὰ σκαφῇ τάφρος, τῆς ὁποίας τὸ ἓν πλευρικὸν ὅριον θὰ εἶναι τὸ ἀνάλημμα τοῦ χειμάρρου μήκους ὅσον τὸ δοθὲν (ἀπὸ τοῦ λουτρῶνος μέχρι τῆς κατωφερικῆς ὁδοῦ), πλάτους τεσσάρων ποδῶν, βάθους τριῶν ποδῶν· οἱ μὲν ἐπὶ τοῦ ἐδάφους λίθοι θὰ τοποθετηθοῦν ἐναλλὰξ κατὰ μῆκος καὶ κατὰ πλάτος καὶ ἁρμόζοντες μεταξύ των (μπατικοί)· θὰ κεῖνται σταθερῶς ἐπὶ τῆς κοίτης των, ἕκαστος δὲ λίθος θὰ κτυπηθῇ διὰ μολυβδίνης ἢ λιθίνης σφύρας (διὰ τὸν ἔλεγχον τῆς ποιότητός του)· θὰ κτυπηθῇ ἐπίσης ἡ κατωφερικὴ ἐπιφάνεια τῆς κοίτης καί, ἀφ' οὗ αὕτη ἐξισωθῇ διὰ νὰ ρέῃ τὸ ὕδωρ ἐλευθέρως, θὰ τοποθετηθοῦν ἐπ' αὐτῶν τῶν λίθων ἄλλοι κατειργασμένοι, τῶν ὁποίων αἱ ἑδράσεις θὰ εἶναι ἐπίπεδοι καὶ ἄνευ ἀνωμαλιῶν καὶ οἱ ἁρμοί των ἄνευ ἀναθυρώσεως· αἱ ἄνω ἐπιφάνειαι τῶν λίθων θὰ εἶναι ὀρθογωνίως πελεκημέναι· θὰ τοποθετηθοῦν οἱ λίθοι καθέτως ἐπὶ ἐπιφανείας ἑνὸς καὶ ἡμίσεος ποδὸς (τριῶν ἡμίσεων ποδῶν) καὶ θὰ ἀφεθῇ ἄνοιγμα διὰ τὴν ροὴν τοῦ ὕδατος πλάτους ἑνὸς ποδός· θὰ ἑδρασθοῦν οἱ λίθοι καλῶς καὶ θὰ ἁρμόζουν μεταξύ των οἱ δὲ ἁρμοὶ θὰ εὑρίσκωνται ἐν στενῇ ἐπαφῇ μεταξύ των, ἄνευ ἀναθυρώσεως· θὰ ἐξομαλυνθῇ ἡ ἐπιφάνεια τῶν τοποθετηθέντων λίθων καὶ θὰ καλυφθοῦν τὰ πάντα διὰ λιθίνων πλακῶν, αἱ ὁποῖαι θὰ συναρμοσθοῦν μεταξύ των ἐπιμελῶς, ἡ ὑποκάτω αὐτῶν ἐπιφάνεια θὰ εἶναι ὁμαλὴ καὶ δὲν θὰ συμπίπτουν οἱ ἁρμοὶ τῶν ὑποκάτω λίθων πρὸς τοὺς τῶν ὑπεράνω καὶ θὰ καλυφθοῦν

---

1 VI 346.

ἅπαντες οἱ λίθοι διὰ χώματος προερχομένου ἐκ τῆς τάφρου τοῦ ὀχετοῦ· διὰ τὸ ὅλον ἔργον θὰ χρησιμοποιηθοῦν λίθοι ἐκ τοῦ θεάτρου τοῦ παρὰ τὸν βωμόν, τοὺς ὁποίους θὰ μεταφέρῃ ἐπὶ τόπου τοῦ ἔργου ὁ ἐργολάβος· ἐὰν οἱ λίθοι δὲν εἶναι κατάλληλοι, θὰ χορηγήσουν οἱ ἐπιμεληταὶ τὴν ἀπαιτουμένην ποσότητα διὰ τὴν ἀποπεράτωσιν τοῦ ἔργου· ἡ κατασκευὴ τοῦ ἔργου θὰ κατακυρωθῇ ἔχουσα ὡς μονάδα τὸ μῆκος τεσσάρων ποδῶν καὶ πρέπει νὰ ἔχῃ ἀποπερατωθῆ ἡ ὅλη ἐργασία ἐντὸς εἴκοσι ἡμερῶν ἀφ' ἧς ὁ ἐργολάβος εἰσπράξει τὰ χρήματα. Ἡ τετραποδία κατεκυρώθη ἀντὶ ἓξ δραχμῶν· ἐργολάβος ὁ Φρῦνος κατοικῶν ἐν τῷ δήμῳ Ἀλωπεκῆς· ἐγγυητὴς ὁ Τελεσίας υἱὸς τοῦ Τελλίου ἐκ τοῦ δήμου Εὐωνύμου».

41. Στήλη [1] μετ' ἀετώματος ἐλλιπὴς κάτω ὕψους 0.54, πλάτους 0.415, πάχους 0.09 μ. Ὕψος γραμμάτων 0.006· στοιχηδὸν 35 (ὁ δεύτερος στίχος 36, ὁ πέμπτος καὶ ὁ εἰκοστὸς ἕκτος 34). Εἰς τὴν ὑποκάτω στενὴν ἐπιφάνειαν ὑπάρχουν δύο μικροὶ τόρμοι διὰ τὴν σύνδεσιν μετὰ τοῦ ἐλλείποντος τμήματος τῆς στήλης, ἀποσπασθέντος κατὰ τοὺς ἀρχαίους ἤδη χρόνους.

*Θ ε ο ί.*
*Ἐπὶ Νικοκράτους ἄρχοντος, ἐπὶ τῆς Αἰγηίδος*
*πρώτης πρυτανείας, ἧι Ἀρχέλας Χαιρίου Παλ-*
*ληνεὺς ἐγραμμάτευεν, μεταγειτνιῶνος ἐνά-*
*τηι ἱσταμένου, ἐνάτηι καὶ τριακοστῆι τῆς*
*πρυτανείας, τῶν προέδρων ἐπεψήφιζεν Νικί-*
*ας Θημακειεύς· ἔδοξεν τῶι δήμωι· Χαιριωνίδ-*
*ης Λυσανίου Φλυεὺς εἶπεν· περὶ ὧν ὁ δῆμος πρ-*
*οσέταξεν τῆι βουλῆι προβουλεύσασαν ἐξεν-*
*ειγκε̃ν περὶ Πυθέου καθότι τιμηθήσεται ὑπ-*
*ὸ τοῦ δήμου, τύχηι ἀγαθῆι, δεδόχθαι τῶι δήμω-*
*ι, ἐπειδὴ Πυθέας αἱρεθεὶς ἐπὶ τὰς κρήνας τῶ-*
*ν τε ἄλλων τῶν ἐν τῆι ἀρχῆι ἐπιμελεῖται καλ-*
*ῶς καὶ φιλοτίμως καὶ νῦν τήν τε πρὸς τῶι τοῦ*
*Ἄμμωνος ἱερῶι κρήνην καινὴν ἐξωικοδόμηκ-*
*εν καὶ τὴν ἐν Ἀμφιαράου κρήνην κατασκεύακ-*
*εν καὶ τῆς τοῦ ὕδατος ἀγωγῆς καὶ τῶν ὑπονόμ-*
*ων ἐπιμεμέληται αὐτόθι, ἐπαινέσαι Πυθέαν*
*Σωσιδήμου Ἀλωπεκῆθεν ἐπειδὰν τὰς εὐθύνα-*
*ς δῶι καὶ στεφανῶσαι αὐτὸν χρυσῶι στεφάνω-*

1 ΛΕΟΝΑΡΔΟΣ, ΑΕ 1889, σ. 13 ἀρ. 28· IG VII 3499· IG II$^2$ 338· Syll.$^3$ 281.

*ι ἀπὸ* : Χ : *δραχμῶν ἀρετῆς ἕνεκα καὶ δικαιοσ-*
*ύνης τῆς περὶ τὴν ἐπιμέλειαν τῶν κρηνῶν ὅπ-*
*ως ἂν καὶ οἱ ἄλλοι οἱ ἀεὶ χειροτονούμενοι ἐ-*
*πὶ τὰς κρήνας φιλοτιμῶνται ἕκαστοι εἰς τό-*
*ν δῆμον· ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα καὶ τὸ*
*τῆς βουλῆς εἰς στήλας λιθίνας δύο τὸν γρα-*
*μματέα τὸν κατὰ πρυτανείαν καὶ στῆσαι μία-*
*ν μὲν ἐν τῶι τοῦ Ἄμμωνος ἱερῶι, μίαν δὲ ἐν Ἀνφ-*
*ιαράου· εἰς δὲ τὴν ἀναγραφὴν τῶν στηλῶν δότ-*
*ω ὁ ταμίας τοῦ δήμου* : ΔΔ : *δραχμὰς ἑκατέρας*
*τῆς στήλης ἐκ τῶν εἰς τὰ κατὰ ψηφίσματα ἀνα-*
*λισκομένων τῶι δήμωι.*

Τὸ ἀθηναϊκὸν τοῦτο ψήφισμα χρονολογεῖται ἀπὸ τοῦ ἄρχοντος τῶν Ἀθηνῶν Νικοκράτους εἰς τὸ ἔτος 333/332 π.Χ.

Ἡ κατασκευασθεῖσα ὑπὸ τοῦ Πυθέου κρήνη εἶναι πιθανῶς ἡ ἐπισκευαζομένη ἐπὶ Ἀντικράτους ἱερέως τοῦ Ἀμφιαράου, κατὰ τὴν περίοδον 338-322 π.Χ. Ἡ κρήνη αὕτη εὑρίσκετο παρὰ τοὺς ἀνδρικοὺς λουτρῶνας καὶ εἶχε μνημειώδη ὄψιν. Περὶ τῆς ἀκριβοῦς θέσεώς της καὶ τῶν λεπτομερειῶν τῆς κατασκευῆς της γίνεται λόγος ἀνωτέρω σ. 108 ἑξ.

Περὶ τοῦ ἀξιώματος τοῦ Ἐπιμελητοῦ τῶν κρηνῶν ὁμιλεῖ ὁ Ἀριστοτέλης [1] : *τὰς δὲ ἀρχὰς τὰς περὶ τὴν ἐγκύκλιον διοίκησιν ἁπάσας ποιοῦσι κληρωτὰς πλὴν ταμίου στρατιωτικῶν καὶ τῶν ἐπὶ τὸ θεωρικὸν καὶ τοῦ τῶν κρηνῶν ἐπιμελητοῦ. ταύτας δὲ χειροτονοῦσιν, καὶ οἱ χειροτονηθέντες ἄρχουσιν ἐκ Παναθηναίων εἰς Παναθήναια.*

42. Στήλης [2] μετ' ἀετώματος πέντε συγκεκολλημένα τεμάχια ὕψους 0.47, πλάτους 0.445, πάχους 0.095 μ. Ἡ στήλη ἄνω ἀριστερὰ καὶ κάτω εἶναι ἐλλιπής. Ὕψος γραμμάτων 0.008 (πίν. 61α).

---

1 Ἀθηναίων Πολιτεία XLIII 1.

2 ΜΙΤΣΟΣ, ΑΕ 1953/54, σ. 158 ἀρ. 1 εἰκ. 1· (SEG XVI 295)· MAIER II, σ. 118 ἀρ. 26 b· (H. W. PLEKET, Epigraphica ἀρ. 28). Πρβ. Bull. 1958, 251· Hellenica 11-12, σ. 202. Αἱ ἐνταῦθα συμπληρώσεις τῆς ἐπιγραφῆς ἀνήκουν εἰς τὸν ΛΕΟΝΑΡΔΟΝ (Λα 142). Μικρὸν τεμάχιον τὸ ὁποῖον δὲν εἶχε ταυτίσει (Λα 561), οὔτε ἐπίσης καὶ ὁ πρῶτος ἐκδότης, μὲ τὰ λείψανα τριῶν στίχων, ἐκόλλησα εἰς τὴν στήλην καὶ συνεπληρώθησαν οἱ στίχοι 6-8 εἰς τὸ μέσον. Οὕτω οὔτε ἡ συμπλήρωσις τοῦ στ. 8 οἰκ(;)]*ισμὸν* τοῦ ΜΙΤΣΟΥ ἢ συνοικ]*ισμὸν* Bull. 1958, 251 εὐσταθεῖ. Ὁ MAIER ἀντιθέτως συμπληροῖ ὀρθῶς τειχ]*ισμόν*.

[— — — — — — — — — εἶπεν· δεδόχθαι τ[ῶι δή]-
[μωι, ὅπως ἂν φρούριά τε ἰσχυρὰ] ἡμῖν κατασκε[υα]-
[σθῆι καὶ τὰ πεπτωκότα τείχη ἀνοι]κοδομηθεῖ, τ[οὺς]
[ἄνδρας τοὺς ἐπὶ τὰ τείχη ηἱρημέ]νους, Κράτυλλ[ον]
[— — — —, — — — —, — — — ]ον, Ἐξηκεστίδην,
ἐπιμελη[θῆναι ὅπως ἂν εἰς τὸ]ν τειχισμὸν χρήμα-
τα πορισθῆι τῆι π[όλει, τὰς δὲ] προσόδους τῆς πόλε-
ως πάσας ὑπάρχειν εἴ[ς τε τὸ]ν τε[ιχ]ισμὸν καὶ εἰ-
ς τὴν ἀπόδοσιν τῶν δα[νεισθέντων χρ]ημάτων
εἰς τὰ τείχη, ἀφαιρεθ[ῆναι δὲ ὅ]σα τε εἰς τὰ ἱερὰ ἀνα-
λίσκεται καὶ μισθοὺς [το]ῖς ὑπηρέταις καὶ εἴ τι ἄλλο
ἀνάλωμα τῆς πόλεώς [ἔ]στι κατὰ νόμον ἢ κατὰ ψή-
φισμα· ὅπως δ' ἂν εἰδῶσι πάντες τοὺς προελομέ-
νους εἰς τὸν τειχισμὸν τῆς πόλεως βοηθῆσαι, τοὺς
τειχοποιοὺς ἀναγράψαι ἐν στήλαις λιθίναις τό τ[ε]
ψήφισμα τοῦ δήμου καὶ τὰ ὀνόματα τῶν τειχοπο[ι]-
ῶν καὶ τῶν δανεισάντων τῆι πόλει καὶ ὅ τι ἕκαστος
[ἐ]δάνεισε καὶ τῶν ἐγγυησαμένων καὶ στῆσαι
[τὴν μ]ὲν ἐν τῶι ἱερῶι τοῦ Ἀμφιαράου, τὴν δὲ ἐν
[τῆι χώ]ρα[ι], ὅπου ἂν δοκεῖ ἐν καλλίστωι εἶναι· ἐπι-
[σκέψασθαι] δὲ τ[ὸ]ν δῆμ[ον καθ'] ὅτι ἀξίως αὐτοῦ
[τιμήσει τοὺς δανείσαντας εἰς τὸν] οἰκισμὸν τῆς
[χώρας — — — — — — — χάριν τῆς τ]ε σωτ[ηρί]-
[ας τῆς πόλεως καὶ τ — — — — — — — — ]

Τὸ ψήφισμα τοῦτο καὶ τὸ ὁμοίου προορισμοῦ νεώτερόν του IG VII 4263 ἔχουν ὡς βασικὸν πρόβλημα τὴν αἰτίαν, ἡ ὁποία προεκάλεσε τὴν καταστροφὴν τῶν τειχῶν τοῦ Ὠρωποῦ. Φιλολογικαὶ μαρτυρίαι δὲν ὑπάρχουν διὰ νὰ μᾶς διαφωτίσουν καὶ αἱ ὑποθέσεις αἱ ὁποῖαι γίνονται μένουν ἄνευ ἐπιβεβαιώσεως.

Τὰ τείχη τῆς πόλεως, ἐκ τῶν ὁποίων σήμερον οὐδὲν ἴχνος σῴζεται, θὰ ἦσαν κατεσκευασμένα ἐξ ὠμῶν πλίνθων, ὡς ἐσυνηθίζετο εἰς τὴν ἀρχαίαν ἐποχήν [1]. Τὸ ὑλικὸν αὐτὸ δὲν παρουσιάζει μεγάλην ἀντοχὴν καὶ αἱ καιρικαὶ ἐπιδράσεις ἔχουν πάντοτε δυσμενῆ σημασίαν. Εἶναι λοιπὸν εὔλογον νὰ ὑποθέσωμεν ὅτι τοῦτο ἦτο ἡ βασικὴ αἰτία τῶν βλαβῶν τῶν τειχῶν χωρὶς

1 Διὰ τὰς φιλολογικάς, ἐπιγραφικὰς καὶ ἀνασκαφικὰς μαρτυρίας σχετικῶς μὲ τὰ πλίνθινα τείχη βλ. εἰς Α. ΟΡΛΑΝΔΟΥ, Τὰ Ὑλικὰ Δομῆς, 1, σ. 65 ἑξ.

νὰ δυνάμεθα νὰ ἀποκλείσωμεν ἄλλας αἰτίας ἐξ ἴσου πιθανάς, ὡς ἐχθρικὰς ἐνεργείας ἢ σεισμούς.

Τὸ σχῆμα τῶν γραμμάτων χρονολογεῖ τὸ ψήφισμα εἰς τὰ τέλη τοῦ 4ου π. Χ. αἰῶνος ἢ τὰς ἀρχὰς τοῦ 3ου. Τὸ περιεχόμενόν του δεικνύει ὅτι ἐγένετο εἰς περίοδον αὐτονομίας τοῦ Ὠρωποῦ, διότι οὔτε ἡ ἀθηναϊκὴ πρωτοβουλία διαφαίνεται οὔτε ἡ παρουσία τοῦ βοιωτικοῦ κοινοῦ. Πιθανωτέρα εἶναι ἡ μετὰ τὴν ἀπελευθέρωσιν ἀπὸ τῆς ἀθηναϊκῆς κατοχῆς τοῦ 303 π.Χ. περίοδος, πρὸ τῆς ἐντάξεως τῆς πόλεως εἰς τὸ βοιωτικὸν κοινόν [1].

Ὁ L. Robert νομίζει ὅτι ἡ καταστροφὴ τῶν τειχῶν ὀφείλεται εἰς τοὺς Ἀθηναίους, οἱ ὁποῖοι ἤθελον τὴν πόλιν ἀνίσχυρον καὶ ὑπὸ τὴν κυριαρχίαν των καὶ συμπληρώνει εἰς τὸν στ. 22 συν]*οικισμὸν* θεωρῶν ὅτι οἱ Ἀθηναῖοι εἶχον ἐκδιώξει τοὺς κατοίκους τῆς πόλεως οἱ ὁποῖοι τώρα ἐπιστρέφουν εἰς τὰς ἑστίας των καὶ ἐπιλέγει [2] : «τὸ νέον τοῦτο ψήφισμα θὰ ἠδύνατο νὰ χρονολογηθῇ ἱκανοποιητικῶς, νομίζω, εὐθὺς μετὰ τὸ τέλος τῆς ἀθηναϊκῆς κατοχῆς, ἡ ὁποία ἤρχισε τὸ 303 π.Χ. Δὲν ἀποκλείεται νὰ χρονολογῆται, εὐθὺς μετὰ τὸ 322 π.Χ. Ὁπωσδήποτε, τὸ ψήφισμα τοῦτο, ἐπακόλουθον τῆς ἑτέρας τῶν δύο αὐτῶν περιόδων ἀθηναϊκῆς κατοχῆς, φαίνεται νὰ ρίπτῃ φῶς ὠμόν, ὄχι ὅμως καὶ ἀπροσδόκητον, ἐπὶ τῶν μέσων τὰ ὁποῖα μετεχειρίζετο ἡ ἀθηναϊκὴ κυριαρχία : τὰ τείχη εἶχον καταστραφῆ καὶ οἱ κάτοικοι, τοὐλάχιστον οἱ τῆς πόλεως, εἶχον διασκορπισθῆ».

Εἰς τὸ ψήφισμα ἀπαντᾷ διὰ πρώτην φορὰν ἔκθεσις στήλης ἐκτὸς τοῦ Ἱεροῦ [3]. Ὁ τειχοποιὸς Κράτυλλος εἶναι, νομίζω, ὁ ἐπὶ ἄρχοντος τοῦ κοινοῦ τῶν Βοιωτῶν Τρίακος (287-280 π.Χ.) ἀφεδριατεύων Κράτυλλος Ἀμφιδαμίου [4].

43. Ψήφισμα [5] χαραγμένον ἐπὶ τῆς ὄψεως τοῦ βάθρου τοῦ ἀγάλματος τοῦ Ἀγρίππα, ὑπὸ τὴν ἀνάθεσιν καὶ τὴν ὑπογραφὴν τοῦ γλύπτου Μητιόχου (πίν. 61β).

---

1 Maier II, σ. 119.

2 Hellenica 11-12, σ. 202.

3 Ὁ Μιτσος (ΑΕ 1953/54 Β, σ. 160) ὑποστηρίζει ὅτι ἔκθεσις ψηφισμάτων ἐκτὸς τοῦ Ἱεροῦ ἐγίνετο κατὰ τὰς περιόδους τῆς αὐτονομίας τοῦ Ὠρωποῦ. Τοῦτο ὅμως δὲν ἐπιβεβαιοῦται ἐξ ἄλλων περιπτώσεων. Πιστεύω ὅτι οἱ Ὠρώπιοι ἐπεδίωξαν ἐνταῦθα τὴν μεγαλυτέραν δυνατὴν δημοσιότητα λόγῳ τῆς σοβαρότητος τοῦ θέματος.

4 IG VII 2724a. Βλ. ἀνωτέρω σ. 32. Ἐξηκεστίδης Ὠρώπιος, ἱερεὺς τοῦ Ἀμφιαράου, ἀπαντᾷ ἐπὶ ἄρχοντος τοῦ κοινοῦ τῶν Βοιωτῶν Νίκωνος (IG VII 251), ἔγγονος πιθανῶς τοῦ ἐνταῦθα τειχοποιοῦ.

5 IG VII 351· Λεοναρδος ΑΕ 1892, σ. 43 ἀρ. 70· Michel 699· L. Ziehen, Leges Graecorum Sacrae ἀρ. 68· Boesch, Θεωρός, σ. 22 ἀρ. 3, 49.

*Ἐπικράτης Ἀρχίππου εἶπεν ὑπὲρ ἱερῶν· ἐπειδὴ συμβαίνει τὴμ*
*πόλιν Ἀκραιφιείων ἀποστεῖλαι πρεσβευτὰς τρεῖς ἄνδρας τοὺς δια-*
*λεξομένους μετὰ τοῦ ἱερέως καὶ τοῦ προφήτου πρὸς τὰς πόλεις*
*τὰς ἐν τῆι Βοιωτίαι καὶ παραγενόμενοι εἰς τὴν ἐκκλησίαν τό τε ψήφισ-*
*μα ἀνέγνωσαν τὸ παρὰ τῶν Ἀκραιφιείων καὶ παρεκαλοῦσαν τὸν*
*δῆμον συναύξειν τὴν θυσίαν τῶι Ἀπόλλωνι τῶι Πτώιωι καθάπερ καὶ τὸ*
*κοινὸν Βοιωτῶν καὶ ἡ πόλις τῶν Ἀκραιφιείων· ὅπως ἂν οὖν φαίνηται ἡ πόλις*
*τῶν Ὠρωπίων, καθάπερ αὐτεῖ προσήκει, εὐσεβῶς καὶ ἐνδόξως τὰ πρὸς*
*τοὺς θεοὺς συντελοῦσα καὶ εὐχαριστοῦσα τεῖ πόλει Ἀκραιφιείων,*
*δεδόχθαι τεῖ βουλεῖ καὶ τῶι δήμωι τὸν ἄρχοντα καὶ τοὺς πολεμάρχους*
*τοὺς ἀεὶ γινομένους καὶ τὸγ γραμματέα πέμπειν βοῦν ἀπὸ τῆς πόλεως*
*εἰς τὰ Πτώια καὶ αὐτοὺς συμπομπεύειν καὶ τἆλλα πάντα πράττειν καθά-*
*περ καὶ ἐν ταῖς λοιπαῖς θυσίαις γέγραπται αἷς ἡ πόλις θύει ἐν τῶι κοινῶι*
*Βοιωτῶν· ἀναγράψαι δὲ τοὺς πολεμάρχους τόδε τὸ ψήφισμα ἐν τῶι*
*ἱερῶι τοῦ Ἀμφιαράου, οὗ ἂν αὐτοῖς φαίνηται ἐγ καλλίστωι εἶναι, τὸ δὲ*
*ἄλωμα τὸ γενόμενον εἰς τὴν ἀναγραφὴν τοῦ ψηφίσματος δοῦναι*
*τὸν ταμίαν τὸν προάρχοντα τὴν δευτέραν τετράμηνον.*

Τὸ ψήφισμα τοῦτο ἀποδοχῆς συμμετοχῆς τοῦ Ὠρωποῦ εἰς τὰς ἑορτὰς τῶν Πτῴων χρονολογεῖται κατὰ τὸν Feyel [1] εἰς τὰ ἔτη 228-226 ἢ 226-172 π.Χ. Ἡ πρώτη χρονολόγησις εἶναι ἡ πιθανωτέρα, διότι μετὰ τὸ ψήφισμα, ἐπὶ τῆς ὄψεως τοῦ βάθρου τοῦ ἀγάλματος τοῦ Ἀγρίππα, ὑπάρχει ἄλλο προξενικόν [2], τὸ ὁποῖον χρονολογεῖται ἀπὸ τοῦ ἄρχοντος τοῦ κοινοῦ Δαμοφίλου (222-208 π.Χ.). Ἄρα τὸ ψήφισμα τοῦ Ἐπικράτους χρονολογεῖται πρὸ τοῦ ἄρχοντος Δαμοφίλου.

Ἡ Ἀκραίφεια ἀπευθύνεται πρὸς ἁπάσας τὰς βοιωτικὰς πόλεις καὶ ζητεῖ τὴν συμμετοχήν των εἰς τὰς ἑορτάς, ἐπειδὴ ὁ χαρακτὴρ των εἶναι ὁμοσπονδιακός. Ὁ Ὠρωπός, πάλιν, ἀναγνωρίζει ὡς ὑποχρέωσίν του νὰ συμβάλῃ, ὡς μέλος τοῦ κοινοῦ, εἰς τὰς ἑορτὰς αὐτάς, ὡς πράττει καὶ εἰς τὰς ἄλλας ἐκδηλώσεις τοῦ κοινοῦ [3].

Ἀντίγραφον τοῦ ψηφίσματος τούτου εἶχεν ἱδρυθῆ καὶ εἰς τὸ ἱερὸν τοῦ Πτῴου [4].

---

1 Contribution, σ. 147.
2 IG VII 352.
3 Feyel, Polybe, σ. 256. Βλ. καὶ ἀνωτέρω σ. 33.
4 IG VII 4143. Ἡ καλυτέρα δημοσίευσις εἶναι τοῦ Feyel, Contribution, σ. 134-139.

44. Στήλη [1] ἁπλῆ ἀκόσμητος (πίν. 62α), ὕψους 0.75, πλάτους 0.36-0.38, πάχους 0.10 μ. Ὕψος γραμμάτων 0.009.

*Ὀλύμπιχος Ἑρμοδώρου εἶπεν· ἐπειδὴ Ἱέρων*
*Τηλεκλέους Αἰγειράτης εὔνους ὢν διατελε*[ῖ]
3 *τῶι δήμωι τῶι Ὠρωπίων ἐμ παντὶ καιρῶι καὶ λέγων*
*καὶ πράττων τὰ συμφέροντα, γενομένων τε συμ-*
*πτωμάτων καὶ παρασπονδημάτων τῶ*[ν] *μεγίστων*
6 *περὶ Ὠρωπίους καὶ τῶν ἀρχόντων καὶ ἡμῶν πα-*
*ραγενομένων εἰς τὴν ἐν Κορίνθωι σύνοδον ἠρά-*
*νισέν τε ἡμῖν καὶ συμβουλεύσας παρεστήσατο*
9 *τοὺς Ἀχαιοὺς τὴν πᾶσαν πρόνοιαν ποιήσασθαι ὑ-*
*πέρ τε τῆς πόλεως ἡμῶν καὶ τοῦ ἱεροῦ τοῦ Ἀμφια-*
*ράου, ἐπεὶ καὶ ἐν τεῖ Ῥωμαίων φιλίαι καὶ πίστει διατε-*
12 *λοῦμεν ὑπάρχοντες· δόξαντος δὲ τοῖς Ἀχαιοῖς*
*συναγαγεῖν σύνκλητον ἐν Ἄργει περὶ τούτων,*
*Ἱέρων ἐμ παντὶ καιρῶι βουλόμενος ἐκφανῆ π*[οι]-
15 *εῖν τὴν αὐτοῦ εὔνοιαν καὶ καλοκαγαθίαν ὑπ*[ε]-
*δέξατο πάντας τοὺς παραγενομένους Ὠρ*[ω]-
*πίων ἐπὶ τὴν ἰδίαν ἑστίαν, ἔθυσέν τε τῶι Δ*[ιὶ]
18 *τῶι Σωτῆρι ὑπὲρ ἡμῶν, πρός τε Ἀθηναίους καὶ*
*τοὺς ἄλλους τοὺς ἀντιπρεσβεύοντας ὑπέ*[σ]-
*τη καὶ παρεστήσατο τοὺς Ἀχαιοὺς μὴ περιιδε*[ῖν]
21 *πόλιν Ἑλληνίδα ἐξανδραποδισθεῖσαν, οὖσάν*
*γε ἐν τεῖ Ῥωμαίων φιλίαι καὶ πίστει, καὶ διὰ τὴν*
*τούτου πρόνοιαν καὶ καλοκαγαθίαν συμβέβηκε*[ν]
24 *κεκομίσθαι ἡμᾶς τὴν πατρίδα καὶ κατεληλ*[υ]-
*θέναι μετὰ τέκνων καὶ γυναικῶν· ὅπως οὖν κ*[αὶ]
*Ὠρώπιοι φαίνωνται μνημονεύοντες ὧν ἂν εὐε*[ρ]
27 *γετηθῶσιν ὑπό τινος, γίνωνται δὲ καὶ ἄλλοι ζ*[η]-
[λ]*ωταὶ τῆς αὐτῆς αἱρέσεως εἰδότες ὅτι τιμηθ*[ή]-
*σονται ἀξίως ὧν ἂν εὐεργετήσωσιν, ἀγαθε*[ι]
30 *τύχει, δεδόχθαι τῶι δήμωι Ὠρωπίων στεφαν*[ῶ]-
*σαι Ἱέρω*[ν]*α Τηλεκλέους Αἰγειράτην εἰκόν*[ι]
*χαλκεῖ ἀρετῆς ἕνεκεν καὶ καλοκαγαθίας ἣν*

---

1 ΛΕΟΝΑΡΔΟΣ, ΑΕ 1885, σ. 97 ἀρ. 2· IG VII 411· B. LATYSCHEW, BCH 10, 1886, σ. 458· MICHEL, 205· Syll.³ 675.

*ἔχων διατελεῖ εἰς τὸν δῆμον τ[ὸ]ν Ὠρωπίων, ἀν[α]-*
*γορεῦσαι δὲ τὴν τῆς εἰκ[ό]νος στάσιν Ἀμφιαρά[ων]*
*τῶμ μεγάλων τῶι γυμνικῶι ἀγῶνι.*

Τὸ διὰ τὸν Ἱέρωνα τιμητικὸν ψήφισμα ἐξετάζεται ἐν συναρτήσει πρὸς τὰς σχετικὰς γνωστὰς πληροφορίας εἰς τὸ κεφάλαιον τῆς ἱστορίας (γεγονότα τοῦ 156 π.Χ.), ὅπου ἀναλύονται καὶ τὰ στοιχεῖα τὰ ὁποῖα δίδει. Τοῦτο χρονολογεῖται εἰς τὰ ἀμέσως μετὰ τὸ 156 π.Χ. ἔτη, μετὰ τὴν λῆξιν τῆς περιπετείας τοῦ Ὠρωποῦ καὶ τὴν ἐπιστροφὴν τῶν ἐξορίστων καὶ τῶν καταδιωχθέντων ὑπὸ τῶν Ἀθηναίων Ὠρωπίων εἰς τὴν πατρίδα των μετὰ τῶν οἰκογενειῶν των. Εἶναι χαρακτηριστικὸν ὅτι ἐν τῷ ψηφίσματι (στ. 10) μνημονεύεται παρὰ τὴν πόλιν τὸ ἱερὸν τοῦ Ἀμφιαράου, ὡς τμῆμα ἀναπόσπαστον αὐτῆς.

Ὁ Ὀλύμπιχος εἶναι πατὴρ τοῦ ἱερέως Ἑρμοδώρου, πρεσβευτοῦ εἰς τὴν Ρώμην τὸ 73 π.Χ., εὐνοουμένου τῶν Ρωμαίων [1]. Ὁ Ὀλύμπιχος ἐπικαλεῖται τὴν εἰς τὴν Ρώμην φιλίαν καὶ πίστιν, τοῦτο δὲ δεικνύει ὅτι ἡ οἰκογένεια αὐτοῦ εἶχεν ἐκ παραδόσεως ἰδιαιτέρους δεσμοὺς μὲ τοὺς Ρωμαίους.

Πατὴρ τοῦ τιμωμένου Ἱέρωνος εἶναι ὁ Τηλεκλῆς Αἰγεάτης [2] (ἀντὶ τοῦ ὀρθοῦ Αἰγιράτης), πρεσβευτὴς εἰς τὴν Ρώμην μετὰ τὸν πόλεμον τοῦ Περσέως.

45. Στήλη [3] μετ' ἀετώματος τεθραυσμένη εἰς δύο μέρη καὶ συγκεκολλημένη, γεγραμμένη καὶ εἰς τὴν ὀπισθίαν πλευρὰν (στ. 53-102), ὕψους 0.775, πλάτους 0.38 μ. Εὑρέθη εἰς τὸν Κάλαμον καὶ περιελθοῦσα εἰς τὴν συλλογὴν Choiseul-Gouffier κατέληξεν εἰς χεῖρας τοῦ Elgin. Σήμερον εὑρίσκεται εἰς τὸ Βρεταννικὸν Μουσεῖον (ἀρ. 160) (πίν. 62β).

*Ἄρχοντος ἐν κοινῶι Βοιωτῶν Στράτωνος, ἱερέως δὲ τοῦ Ἀμφιαρά-*
*ου Ἐπικράτου, Πίργης Ἀρχιππίδου εἶπεν ὑπὲρ ἱερῶν· προ-*
*βεβουλευμένον αὐτῶι εἶναι πρὸς τὴν βουλὴν καὶ τὸν δῆ-*
*μον ἐπειδὴ συμβαίνει τινὰ τῶν ἐπὶ τῆς τραπέζης τοῦ Ἀμ-*
*φιαράου ἀργυρωμάτων ἀχρεῖα γεγονέναι, τινὰ δὲ ἐπισκευ-*
*ῆς χρείαν ἔχειν, εἶναι δὲ καὶ τῶν πρὸς τοῖς τοίχοις ἀνακει-*
*μένων πεπτωκότα τινά, νόμισμά τε ἐπίσημον χρυσοῦν*
*καὶ ἀργυροῦν καὶ ἕτερα ἄσημα ἃ ἐμ παραδοσίμοις ἔχου-*

1 Βλ. ἀνωτέρω σ. 42.
2 Πολυβιος XXXII 7. 14· XXXIII 1. 3.
3 IG VII 303· L. Ziehen, Leges Graecorum Sacrae II, 67.

σιν οἱ ἱεράρχαι, πεπονηκέναι δὲ καὶ τὴν φιάλην τὴν χρυσῆν τὴν ἐπὶ τῆς τραπέζης ἧι σπονδοποεῖται ὁ ἱερεὺς καὶ εἶναι ἀχρείαν, δεδόχθαι τῆι βουλῆι καὶ τῶι δήμωι, ὡς ἂν κυρωθῆι τὸ ψήφισμα, ἑλέσθαι τρεῖς ἄνδρας ἐκ πάντων τῶν πολιτῶν, τοῖς δὲ αἱρεθεῖσιν οἱ ἱεράρχαι παραδότωσαν τό τε νόμισμα τὸ ἐκπεπτωκὸς ἀριθμῶι καὶ τῶν ἀργυρωμάτων ὅσα ἐστὶν ἀχρεῖα πυρώσαντες καὶ ἀποξύσαντες τὸν καττίτερον, ὡσαύτως δὲ καὶ τὰ χρυσία τὰ ἄσημα ἃ παρειλήφασιν καὶ τὴν φιάλην τὴν χρυσῆν· ταῦτα δὲ παραδότωσαν οἱ ἱεράρχαι τῆι ἀρχῆι ἀπεψήσαντες καὶ ποιήσαντες τῶι κάλλει πρὸς τὸ ἐπίσημον καὶ οὕτως ἀποστησάτωσαν, παραδότωσαν δὲ πάντα ταῦτα σταθμῶι μετὰ πολεμάρχων καὶ κατοπτῶν καὶ ἀπολογισάσθωσαν τὰ παραδοθέντα πρὸς κατόπτας· οἱ δὲ παραλαβόντες, ὅσα μὲν ἂν δοκῆι ἐπισκευῆς προσδεῖσθαι, ἐπισκευασάτωσαν, ἐγ δὲ τῶν λοιπῶν ποιησάτωσαν ἀργυρώματα τῶι θεῶι βουλευόμενοι περὶ τῆς κατασκευῆς με[τ]ὰ πολεμάρχων καὶ ἱεραρχῶν καὶ συνηγόρων τῆς πόλεως τὰς ἐγδόσεις ποιούμενοι τῆς τε ἐργασίας καὶ [τ]ῆς ἐπισκευῆς παρὰ κατόπτας· ἐγδότω δὲ ἡ ἀρχὴ [κ]αὶ ἐξ οὗ ἂν παραλάβηι χρυσίου ἀσήμου καὶ ἐπισήμου κατασκευάσαι τῶι θεῶι φιάλην χρυσῆν, καταλιπομένη δοκιμεῖον· ὡς δ' ἂν συντελεσθῆι παραδότωσαν τοῖς ἱεράρχαις καὶ ἀποστησάτωσαν με[τ]ὰ πολεμάρχων καὶ κατοπτῶν· ὁ δὲ συλλογεὺς ἀνοί[ξας] τὸν θησαυρόν, ὡς νομίζεται, ἐξελέτω τὸ γινό[μενον] ἀνάλωμα καὶ διδότω τὰς δόσεις τῶι ἐργώνηι [πάσας κα]τ[ὰ τὰ]ς προ[ρ]ρήσεις, ἐὰν δὲ μὴ ἦι ἐν τῶι θησαυρῶι τὸ [κεφάλαιον τοῦ ἀ]ναλώματος, προσθέτω ὁ ταμίας ὁ προάρχων τὸ ἐ[λλεῖπ]ον καὶ ἀπολογισάσθω πρ[ὸς] κατόπτας· ἵνα δὲ τ[οῖς ἀναθεῖσ]ιν ὑπομν[ήματα ἦι τῶν] ἀναθεμάτων ὅσα μ[έλλε]ι κατασκ[ευασθῆναι, τοὺς] ἱεράρχας στήσαντας ἕκαστον τὸ ἀνάθε[μα ἀναγρά]ψαι εἰς στήλην λιθίνην τό τε ὄνομα τοῦ ἀνα[θ]έντος καὶ τὴν πόλιν ἐξ ἧς ἂν ἦι καὶ τὴν ὁλκὴν τοῦ ἀναθέματος καὶ τοῦ νομίσματος τὸ πλῆθος· ἀναγραψάτωσαν δὲ καὶ τὸ ψήφισμα τὸ κυρωθὲν περὶ τούτων εἰς τὴν στήλην καὶ ἀναθέτωσαν οὗ ἂν δοκῆι ἐν καλλίστωι εἶναι καὶ τὸ γενόμενον ἀνάλωμα ἀπο-

λογισάσθωσαν· ἐὰν δέ τι μὴ ποιήσηι ἡ ἀρχὴ ἡ αἱρε-
θεῖσα τῶν γεγραμμένων ἐν τῶι ψηφίσματι ἢ οἱ ἱε-
ράρχαι ἢ ὁ συλλογεὺς ἢ ὁ ταμίας, ἔνοχοι ἔστωσαν
τῶι κατὰ τὸν τῆς οἰκονομίας νόμωι ὡς κατεβλαφό-
τες τὰς προσόδους τοῦ θεοῦ.

Τάδε συνεκόπη τῶν ἀναθημάτων
κατὰ τὸ ψήφισμα, ὃ ἔγραψε Πίργης.
Λυσάνδρας κανοῦν ὁλκὴ Η𐅄ΔΔΔ𐅂𐅂,
κωθώνιον Κρατήσιον ὁλκὴ ΔΔΔΔΠ𐅂𐅂
φιάλη Νικαρίστης ὁλκὴ ΔΔΔΔ𐅂𐅂𐅂𐅂
Κλιτὼ φιάλιον ὁλκὴ Δ𐅂𐅂𐅂𐅂, Ἀπολλώνιος
φιάλην ὁλκὴ Π𐅂𐅂𐅂𐅂, Ἀρχὼ Καρυστία φιάλην
ὁλκὴ ΔΔΔ𐅂𐅂, Ἱππόξενος φιάλην ὁλκὴ 𐅄ΔΔΔΔ𐅂𐅂,
Δέων Αἰτωλὸς φιάλην ὁλκὴ Η𐅄ΔΔΠ𐅂,
Καφισόδωρος φιάλην ὁλκὴ 𐅄ΔΔΠ, Ἀρχίας Ἀκαρνὰ[ν]
σκάφιον ὁλκὴ ΔΔΔΔ𐅂, Ἀντίφιλος σκάφιον ὁλκὴ ΔΔΔΔΠ𐅂𐅂𐅂,
Ἀρχέμαχος σκάφιον ὁλκὴ ΔΔΔΔ𐅂𐅂, Μνασικλῆς
[Κ]ορίνθιος τριποδίσκον ὁλκὴ 𐅅ΗΗΗΔ𐅂𐅂𐅂,
Λυσικράτης καὶ Πραξαγόρας τριποδίσκον
ὁλκὴ ΗΔΔΔΔΠ𐅂𐅂𐅂.

Μέλανος προσώπιον ὁλκὴ ΔΔΠ𐅂𐅂𐅂𐅂, Βοΐσκου
πρόσωπον ὁλκὴ Π𐅂𐅂𐅂𐅂, Φιλίας τιτθὸς ὁλκὴ Π𐅂𐅂𐅂𐅂,
Ἀρσίνου αἰδοῖον ὁλκὴ Π𐅂, Καλλιμάχης ὀφίδ[ιο]ν ὁλκὴ Π,
[Ἵ]ππωνος αἰδοῖον ὁλκὴ 𐅂𐅂𐅂𐅂, Εὐφροσύνης τ[ιτθ]ὸς ὁλκὴ ΠΙ,
Φαττίου χεὶρ ὁλκὴ 𐅂𐅂𐅂𐅂, Ἀγαθοκλῆς ἡδυποτίδιον
ὁλκὴ ΔΔΔ, Ἀριστοκράτεια λιβανωτίδα ὁλκὴ ΠΔΔ𐅂𐅂,
[Ἕ]λιξος σκάφιον ὁλκὴ ΔΔΔ καὶ ἀργυρίου
[τ]οῦ ἐκπεπτωκότος ἐκ τῶν ἀναθημάτων
Κλεονόης 𐅂𐅂𐅂, Μέλανος 𐅂𐅂𐅂, Ἀντιμάχου 𐅂𐅂𐅂,
Ἡρακλείδου τετρᾶχμα ΔΠ, Κτησοῦς τετρᾶχμα ΙΙ,
ἄλ(λ)ο τετρᾶχμον, Δημητρίας τετρᾶχμον.

Ῥόδωνος τετρᾶχμα ΙΙ, Σιμάλης τετρᾶχμα Π,
Ἐπιτέλου 𐅂𐅂𐅂, Μιθριδάτου 𐅂𐅂𐅂, Λυσιμάχου
τετρᾶχμα ΙΙ, Πλαν[γ]όνος 𐅂𐅂𐅂, [Φ]ατίου ΙΙΙ , Δημοῦς ΙΙΙ,
Μικύθου 𐅂𐅂𐅂, Εἰρήνης 𐅂𐅂𐅂, Πτωίωνος τετρᾶχμα ΠΙΙ,
[Κ]ολλύρας τετρᾶχμα ΙΙΙ, Προσόδου 𐅂𐅂𐅂, Ἀρχίου 𐅂𐅂𐅂,
[Φ]ιλομήλου 𐅂𐅂𐅂, Μελίτης τετρᾶχμα ΙΙ,

*Θεομνάστα τετρᾶχμα* ΙΙΙ, [Ξ]*ενοκλέος*
*τετρᾶχμα* ΠΙΙΙΙ, *Παμφίλου τετρᾶχμα* ΙΙΙΙ,
*Βάκχιος τετρᾶχμα* ΙΙΙ, *Βίων τετρᾶ*[χ]*μα* ΙΙ, *Ἄδα*
*τετρᾶχμα* ΙΙΙ, *Φιλιστίδου τετρᾶχμα* ΙΙΙΙ,
*Κλεοξένου τετρᾶχμα* ΙΙ, *Ἀντανδρίδου τετρᾶχμα* Π,
*Ἀριστοκλέους* ⊢⊢⊢, *Κτησαρέτης*
*τετρᾶχμα* Π, *Ἀριστοκλέους* ⊢⊢⊢, *Λυσίου*
*πτολεμαϊκὰ* ΠΙ, *Δημάρχου πτολε*[μαϊ]*κὰ* Ι[. .],
*Φιλοκλεί*[ας] *πτολεμαϊκ*[ὰ . . . . . .]*νος* ⊢⊢.

*Ἀγαθον*[ίκης] ⊢⊢[⊢], *Ἀρισ*[το]*κράτεια στατῆρας* ΔΠ
[. . . . ]*νίκης* ⊢⊢, *Φιλοκλείας* ⊢, *Ἡδίστης* ⊢,
[. . . ]*ωνας* Π, *Ἀριστοῦς* ⊢⊢⊢⊢, *Κρατήσιον*
*Ἀλεξανδρείας* ⊢⊢⊢⊢, *Ἄδα Ἀλεξανδρείας* Π,
*Δωρὶς Ἀλεξανδρείας* Π, *Νίκωνος χρυσοῦς*,
*Προσόδου χρυσοῦς*, *Νικοκλέους χρυσοῦς*,
*Σωτηρίδου χρυσοῦς*, *Ἀριστοῦς χρυσοῖ δύο*
*καὶ ἀνεπίγραφοι χρυσοῖ* Π, *Μηλίδος ὀβολοὶ* ΔΔ.
*Ἀλφιάδης χύμα ὁλκὴ* ΗΔΔΔΔ⊢⊢⊢⊢.

Ἡ συσσώρευσις εἰς τὰ ἀρχαῖα ἱερὰ μικρῶν ἀναθημάτων ἐκ πολυτίμων μετάλλων ἐδημιούργει κατὰ καιροὺς προβλήματα χώρου διαφυλάξεώς των ἀλλὰ καὶ χρησιμότητος διατηρήσεώς των. Τοιοῦτο πρόβλημα λύει τὸ ἐνταῦθα σημαντικώτατον ψήφισμα τοῦ Ὠρωποῦ ἐπὶ ἄρχοντος τοῦ κοινοῦ τῶν Βοιωτῶν Στράτωνος (202-199 π.Χ.).

Εἰς τὸν χειρισμὸν θεμάτων, τὰ ὁποῖα εἶχον σχέσιν μὲ τὰς δημοσίας προσόδους ἢ τὴν περιουσίαν τῶν ἱερῶν, οἱ ἀρχαῖοι ἦσαν ἰδιαιτέρως προσεκτικοὶ μέχρι σχολαστικότητος, τοῦτο δὲ φαίνεται ἐκ τοῦ ἐνταῦθα ψηφίσματος. Οὕτω ἀποφασίζεται νὰ γίνῃ ὁ κατάλογος ἁπάντων τῶν ἐν τῷ Ἱερῷ ἀφιερωμάτων ἐκ πολυτίμου μετάλλου, νὰ τηκοῦν ὅλα ὅσα εἶναι κατεστραμμένα καὶ ἄχρηστα καὶ ἐκ τοῦ μετάλλου των νὰ κατασκευασθοῦν νέα ἀναθήματα, νὰ ἐπισκευασθοῦν ὅσα ἐκ τῶν ἀναθημάτων ἐπισκευάζονται καὶ νὰ κατασκευασθῇ ἐκ νέου χρυσῆ φιάλη διὰ τὰς εἰς τὸν θεὸν σπονδάς.

Διὰ τὴν διεξαγωγὴν τῆς ὅλης ἐργασίας ἐκλέγεται μία *ἀρχὴ ἐκ πάντων τῶν πολιτῶν*, ἡ ὁποία θὰ παραλάβῃ ἐκ τῶν ἱεραρχῶν τὰ ἀργυρώματα, τὰ ὁποῖα πρέπει νὰ ἐπισκευασθοῦν ἢ νὰ μετατραποῦν εἰς νέα ἀναθήματα καί, ἀφ᾽ οὗ συμβουλευθῇ τοὺς πολεμάρχους, τοὺς ἱεράρχας καὶ τοὺς συνηγόρους, θὰ προχωρήσῃ εἰς τὴν ἀνάθεσιν τῆς ἐκτελέσεως τῆς ἐργασίας αὐτῆς εἰς τοὺς καταλλήλους τεχνίτας-ἐργολάβους. Ἐκ τῶν χρυσῶν νομισμάτων,

τῶν ἐφθαρμένων ἢ ἀκόμη καὶ ἐξ ἐκείνων τὰ ὁποῖα εὑρίσκονται εἰς καλὴν κατάστασιν, ἂν ἀπαιτηθῇ, θὰ κατασκευασθῇ ἡ νέα χρυσῆ σπονδικὴ φιάλη τοῦ ναοῦ. Διὰ τὴν κατοχύρωσιν τῆς ἐργασίας ἀπὸ πάσης ἀποπείρας νοθεύσεως θὰ διατηρηθῇ ἓν τεμάχιον χρυσοῦ, τὸ ὁποῖον θὰ μαρτυρεῖ τὴν ποιότητά του, τὸ *δοκιμεῖον* [1]. Τέλος, ἀφ' οὗ συμπληρωθῇ ἡ ὅλη διαδικασία, θὰ παραδοθῇ ἡ χρυσῆ φιάλη εἰς τοὺς ἱεράρχας παρουσίᾳ τῶν πολεμάρχων καὶ τῶν κατοπτῶν.

Παρὰ τὰ προφυλακτικὰ μέτρα, τὰ ὁποῖα ὁρίζει τὸ ψήφισμα διὰ τὴν ἀποφυγὴν ἀπάτης ὑπό τινος τῶν ἀναμιγνυομένων εἰς τὴν διεξαγωγὴν τῆς περιγραφείσης ἐργασίας, φαίνεται ὅτι ὑπῆρχε φόβος παραβιάσεως αὐτῶν. Οὕτω προβλέπεται ὅτι εἰς περίπτωσιν κατὰ τὴν ὁποίαν ἡ εἰδικὴ ἀρχή, οἱ ἱεράρχαι ἢ ὁ ταμίας, δὲν ἐνήργουν συμφώνως πρὸς τὰ ὑπὸ τοῦ ψηφίσματος προσταζόμενα, οὗτοι θὰ ἐκρίνοντο συμφώνως πρὸς τὰς διατάξεις τοῦ νόμου ἐκείνου, ὁ ὁποῖος ἀφεώρα εἰς τὴν προστασίαν τῶν εἰσοδημάτων τοῦ θεοῦ.

Ὁ κατάλογος τῶν ἀναθημάτων διαιρεῖται εἰς τέσσαρα μέρη. Τὸ πρῶτον περιλαμβάνει ἀποκλειστικῶς ἀγγεῖα καὶ σκεύη ἐκ χρυσοῦ, τὸ δεύτερον ὁμοιώματα μελῶν τοῦ ἀνθρωπίνου σώματος (τύπια), ἀγγεῖα, σκεύη καὶ νομίσματα, τὸ τρίτον τετράδραχμα καὶ τὸ τέταρτον νομίσματα πάλιν καὶ χρυσὸν εἰς ράβδους *(χύμα)*.

Ἡ ἔκφρασις *ὑπὲρ ἱερῶν* δηλοῖ τὴν προτεραιότητα τοῦ θέματος εἰς τὴν συζήτησιν, εἰς τὴν βουλὴν καὶ τὴν συνέλευσιν τοῦ δήμου [2].

Ἐκ τῆς ἐνταῦθα ἐπιγραφῆς καὶ τῆς ὁμοίου περιεχομένου IG VII 3498 βλέπομεν τὰς συνηθείας τῶν πιστῶν ὡς πρὸς τὰ πρὸς τὸν θεὸν ἀναθήματα. Δὲν ἀφιέρωνον μόνον πολύτιμα ἀγγεῖα ἢ σκεύη ἀλλὰ καὶ νομίσματα. Ταῦτα ἐστερεοῦντο διὰ κηροῦ ἐπὶ τοῦ λατρευτικοῦ ἀγάλματος. Θαυμασίως περιγράφει τὴν συνήθειαν αὐτὴν ὁ Λουκιανός (Φιλοψευδὴς 20) : *Πολλοί, ἦ δ' ὅς, ἔκειντο ὀβολοὶ πρὸς τοῖν ποδοῖν αὐτοῦ* (τοῦ ἀγάλματος) *καὶ ἄλλα νομίσματα ἔνια ἀργυρᾶ πρὸς τὸν μηρὸν κηρῷ κεκολλημένα καὶ πέταλα ἐξ ἀργύρου, εὐχαί τινος ἢ μισθὸς ἐπὶ τῇ ἰάσει ὁπόσοι δι' αὐτὸν ἐπαύσαντο πυρετῷ ἐχόμενοι.* Τὰ νομίσματα ταῦτα μετὰ πάροδον ἱκανοῦ χρόνου ἀπὸ τῆς ἀναθέσεώς των ἔπιπτον λόγῳ τῆς ξηράνσεως τοῦ κηροῦ καὶ συνελέγοντο ὑπὸ τῶν ὑπαλλήλων τοῦ ναοῦ (στ. 13 - 14 *τὸ νόμισμα τὸ ἐκπεπτωκός*). Ταῦτα τὸ πλεῖστον ἦσαν μικρᾶς ἀξίας (ὡς καὶ σήμερον τὰ νομίσματα τὰ ὁποῖα κολλοῦν οἱ πιστοὶ ἐπὶ τῶν εἰκόνων τῶν ἐκκλησιῶν), χάλκινα κυρίως καὶ *ἔνια ἀργυρᾶ*.

---

1 Περὶ τοῦ δοκιμείου βλ. J. POUILLOUX, BCH 75, 1951, σ. 292 ἑξ.

2 FEYEL, BCH 60, 1936, σ. 397.

Πολλὰ τῶν ἀφιερωμάτων ἔφερον ἐπ' αὐτῶν χαραγμένον τὸ ὄνομα τοῦ ἀναθέτου, ὁ ὁποῖος ἠδύνατο νὰ εἶναι βασιλεύς τις, πόλις ἢ καὶ ἄσημος ἰδιώτης. Ὑπὸ τῶν καταλόγων τοῦ Ἱεροῦ δὲν παραδίδονται τοιαῦται ἐπιγραφαί. Ἡ IG VII 3498 ἀναγράφει μόνον (στ. 5): *τῆς πρώτης* (φιάλης) *ἐπιγραφὴ Θεοτέλης*.

Εἰς τὸν Ἀμφιάραον ἀνέθετον οἱ Ὠρώπιοι νικηταὶ τῶν ἀγώνων τοῦ Ἱεροῦ τὰ βραβεῖά των, τὰ *νικητήρια*, μετάλλια ἐκ πολυτίμου μετάλλου ἀξίας ἑκατὸν δραχμῶν, πολλὰ τῶν ὁποίων μνημονεύει ὁ κατάλογος IG VII 3498.

46. Στήλη [1] ἐλλιπὴς ἄνω ὕψους 0.46, πλάτους 0.317, πάχους 0.076 μ. Ὕψος γραμμάτων 0.009 (πίν. 63α).

[— — — — — — — — — — ἐφ' ὧι τε]
*Μόσχον Φρ*[υνίδαι παραμένειν ἐνιαυ]-
*τὸν καὶ εἶναι ἐλεύθερον μη*[θενὶ μηθὲ]*ν*
*προσήκοντα· ἐὰν δέ τι πάθηι Φρυνίδας*
*πρὸ τοῦ τὸγ χρόνον διεξελθεῖν, ἐλεύθερο*[ς]
*ἀπίτω Μόσχος οὗ ἂν αὐτὸς βούληται·*
*τύχηι ἀγαθῆι· μάρτυρες Ἀθηνόδωρος*
*Μνασικῶντος Ὠρώπιος, Βίοττος Εὐδίκου*
*Ἀθηναῖος, Χαρῖνος Ἀντιχάρμου Ἀθηναῖος,*
*Ἀθηνάδης Ἐπιγόνου Ὠρώπιος, Ἵππων Αἰσχύ-*
*λου Ὠρώπιος· Μόσχος Μοσχίωνος Ἰουδαῖος*
*ἐνύπνιον ἰδὼν προστάξαντος τοῦ θεοῦ*
*Ἀμφιαράου καὶ τῆς Ὑγιείας καθ' ἃ συνέταξε*
*ὁ Ἀμφιάραος καὶ ἡ Ὑγίεια ἐν στήληι γράψαντα*
*ἀναθῆναι πρὸς τῶι βωμῶι.*

Ἐνῷ ἐξ ἄλλων τόπων τῆς Ἑλλάδος ἔχουν διασωθῆ κατὰ χιλιάδας αἱ ἀπελευθερωτικαὶ ἐπιγραφαί, ἐξ Ὠρωποῦ ἔχομεν μόνον τὴν ἀνωτέρω, ἥτις ὅμως παρουσιάζει ἰδιάζον ἐνδιαφέρον λόγῳ τῆς ἑβραϊκῆς ἐθνικότητος τοῦ ἀπελευθέρου. Μελετητὴς [2] τῆς ἐξεταζομένης ἐπιγραφῆς παρετήρησεν ὅτι ἡ ἐξ Ὠρωποῦ ἀπελευθέρωσις εἶναι τὸ ἀρχαιότερον κείμενον (α' ἥμισυ τοῦ 3ου π. Χ. αἰῶνος), τὸ ὁποῖον ὁμιλεῖ περὶ Ἑβραίου δούλου ἐν

---

1 ΜΙΤΣΟΣ, ΑΕ 1952, σ. 192 ἀρ. 25 εἰκ. 13· SEG XV 293· D. M. LEWIS, Journal of Semetic Studies 2, 1957, σ. 264-266· πρβ. Bull. 1956, 121· 1959, 178· SEG XVI 299· Hellenica 11-12, σ. 385. Αἱ ἐνταῦθα συμπληρώσεις εἶναι τοῦ ΛΕΟΝΑΡΔΟΥ, περὶ ὧν βλ. Β. Χ. ΠΕΤΡΑΚΟΥ, Τὸ Ἀμφιάρειον, σ. 9 ἀρ. 5.

2 LEWIS, ἔ. ἀ.

Ἑλλάδι, πολὺ πρὸ τῶν πολέμων Ἀντιόχου τοῦ Ἐπιφανοῦς. Πρέπει νὰ παρατηρηθῇ ἐπίσης ὅτι ὁ δοῦλος ἀκολουθεῖ τὰς ἐντολὰς τοῦ Ἀμφιαράου καὶ τῆς Ὑγιείας, τὰς ὁποίας ἔλαβεν ἐν ὀνείρῳ [1]. Τοῦτο εἶναι ἔντονον παράδειγμα ἀπεθνοποιήσεως (denationalisation) [2].

## ΟΙ ΑΓΩΝΕΣ

Εἰς τὸ Ἱερὸν ἐγίνοντο ἀνὰ τέσσαρα ἔτη μουσικοὶ καὶ γυμνικοὶ ἀγῶνες ὀργανούμενοι ὑπὸ τῆς πόλεως τοῦ Ὠρωποῦ πρὸς τιμὴν τοῦ Ἀμφιαράου. Οἱ ἀγῶνες αὐτοὶ ὠνομάζοντο ἐκ τοῦ ὀνόματος τοῦ θεοῦ *Ἀμφιαράϊα*. Ἡ παλαιοτέρα γραπτὴ μνεία αὐτῶν εἶναι κατάλογος νικητῶν χρονολογούμενος πρὸ τοῦ 338 π.Χ. Ὁ κατάλογος αὐτός, ὡς καὶ ἄλλαι ἐπιγραφαί, ὀνομάζουν τοὺς ἀγῶνας *Ἀμφιαράϊα τὰ μεγάλα*. Ἡ ὀνομασία αὕτη δεικνύει ὅτι θὰ ἐγίνοντο καὶ *Ἀμφιαράϊα τὰ μικρά*, ὡς ἐν Ἀθήναις *Παναθήναια τὰ μικρὰ* ἢ ἐν Ρόδῳ *Ἁλίεια τὰ μικρά*, τελούμενα καθ' ἕκαστον ἔτος [3]. Περὶ αὐτῶν ὅμως οὐδεμία μαρτυρία διεσώθη.

Εἶναι ἄγνωστον πότε ἤρχισαν νὰ διεξάγωνται οἱ ἀγῶνες τοῦ Ἱεροῦ. Δύο ἀναθηματικὰ ἀνάγλυφα (πίν. 38, 39) παριστῶντα τὸ ἀγώνισμα τῆς ἀποβάσεως — τὸ ἓν ἐκ τῆς Σκάλας τοῦ Ὠρωποῦ τὸ ἕτερον ἐκ τοῦ Ἀμφιαρείου —, χρονολογούμενα εἰς τὸ τέλος τοῦ 5ου π.Χ. αἰῶνος ἢ τὰς ἀρχὰς τοῦ 4ου, δίδουν τὸ παλαιότερον γνωστὸν χρονικὸν ὅριον τελέσεως αὐτῶν [4]. Κατὰ τὸ 332/31 π.Χ., ἐπὶ Νικήτου ἄρχοντος ἐν Ἀθήναις, τιμᾶται [5] ὁ Φανόδημος Διΰλλου Θυμαιτάδης διότι *καλῶς καὶ φιλοτίμως νενομοθέτηκεν περὶ τὸ ἱερὸν τοῦ Ἀμφιαράου, ὅπως ἂν ἥ τε πεντετηρὶς ὡς καλλίστη γίγνηται καὶ αἱ ἄλλαι θυσίαι τοῖς θεοῖς τοῖς ἐν τῶι ἱερῶι τοῦ Ἀμφιαράου, καὶ πόρους πεπόρικεν εἰς ταῦτα*. Ἐκ τοῦ ψηφίσματος προκύπτει ὅτι ἡ ἑορτὴ ἦτο ἤδη πεντετηρικὴ καὶ ὅτι οἱ Ἀθηναῖοι ἔλαβον νομοθετικὴν πρόνοιαν διὰ τὸν λαμπρότερον ἑορτασμόν της. Κατὰ τὸ 329/28 π.Χ., ἐπὶ Κηφισοφῶντος ἄρχοντος Ἀθηνῶν, ἐτιμήθησαν [6] δέκα ἐπιφανεῖς Ἀθηναῖοι καὶ μεταξὺ αὐτῶν ὁ γνωστὸς διὰ τὸ ἐνδιαφέρον του διὰ τὸ Ἀμφιάρειον Φανόδημος Διΰλλου καὶ οἱ ἐξέχοντες πολιτικοὶ καὶ ρήτορες Λυκοῦργος Λυκόφρονος Βουτάδης καὶ Δημάδης Δημέου Παιανιεὺς *ἐπειδὴ οἱ χειροτονηθέντες ὑπὸ τοῦ*

---

1 Περὶ τῆς λέξεως *ἐνύπνιον* εἰς τὰς ἐπιγραφὰς βλ. Bull. 1961, 340.
2 Bull. 1956, 121.
3 L. Moretti, Inscrizioni agonistiche Greche, σ. 118.
4 Βλ. ἀνωτέρω σ. 121 ἑξ.
5 IG VII 4253· Syll.[3] 287.
6 IG VII 4254· Syll.[3] 298.

*δήμου ἐπὶ τὴν ἐπιμέλειαν τοῦ ἀγῶνος καὶ τῶν ἄλλων τῶν περὶ τὴν ἑορτὴν τοῦ Ἀμφιαράου καλῶς καὶ φιλοτίμως ἐπεμελήθησαν τῆς τε πομπῆς τῶι Ἀμφιαράωι καὶ τοῦ ἀγῶνος τοῦ γυμνικοῦ καὶ ἱππικοῦ καὶ τῆς ἀποβάσεως καὶ τῶν ἄλλων πάντων τῶν περὶ τὴν πανήγυριν.* Ἐκ τοῦ ψηφίσματος τούτου φαίνεται ἀκόμη περισσότερον τὸ ἐνδιαφέρον τῶν Ἀθηναίων διὰ τὴν ἑορτήν, ἀφ' οὗ ἐκλέγονται δέκα σημαίνοντες πολῖται διὰ τὴν ὀργάνωσίν της τιμώμενοι διὰ χρυσοῦ στεφάνου ἀξίας χιλίων δραχμῶν μετὰ τὴν ἐπιτυχῆ τέλεσιν αὐτῆς.

Κατὰ τὴν πεντετηρίδα λοιπὸν τοῦ 329/28 π.Χ. οἱ ἀγῶνες συμφώνως πρὸς τὸ ἀνωτέρω ψήφισμα ἔχουν τὸ ἑξῆς πρόγραμμα : 1) πομπὴ 2) γυμνικὸς ἀγὼν 3) ἱππικὸς ἀγὼν 4) ἀπόβασις. Ἡ γενικῶς ἀναφερομένη τάξις τῶν ἀγώνων ἀκολουθεῖται καὶ εἰς τὸν παλαιότερον τοῦ ψηφίσματος τοῦ τιμῶντος τοὺς δέκα Ἀθηναίους πρῶτον σωζόμενον κατάλογον νικητῶν τῶν ἀγώνων τοῦ Ἱεροῦ. Τὸ ἀγώνισμα δὲ τῆς ἀποβάσεως ἐτελεῖτο, ὡς ἐδείχθη, καὶ εἰς ἀκόμη παλαιοτέραν ἐποχήν.

Ἀπὸ τοῦ 329/28 π.Χ. μέχρι τῶν ἀρχῶν τοῦ 1ου π.Χ. αἰῶνος ἐλάχισται μνεῖαι ὑπάρχουν τῶν ἀγώνων. Ἀττικὴ ἐπιγραφὴ [1] (4ου- 3ου π. Χ. αἰ.) τιμᾷ νικητὴν εἰς τὰ *Ἀμφιέρ*[ε]*ια*. Ἐπιγραφὴ [2] τοῦ Ἄργους τῆς περιόδου 200-180 π.Χ., ἀναγράφουσα τὰς νίκας Ἀχαιοῦ τινος, ἀναφέρει διπλῆν νίκην αὐτοῦ εἰς τοὺς ἀγῶνας : *Ἀμφιαράϊα τὰ μεγ*[άλ]*α δίαυλον καὶ ὁπλίταν*. Εἰς τὸ πρὸς τιμὴν τοῦ Ἱέρωνος τοῦ Αἰγειράτου ψήφισμα [3] τοῦ δήμου Ὠρωπίων, τῆς περιόδου 154-149 π. Χ., καθορίζεται ὅτι [ἀνα]*γορεῦσαι δὲ τὴν τῆς εἰκόνος στάσιν Ἀμ*[φιαράων] *τῶμ μεγάλων τῶι γυμνικῶι ἀγῶνι*. Τὴν ἰδίαν διάκρισιν εὑρίσκομεν καὶ εἰς ἕτερον τιμητικὸν ψήφισμα [4] τῶν Ὠρωπίων τοῦ 2ου π.Χ. αἰῶνος. Οἱ ἀγῶνες δηλαδὴ προσέφερον τὴν κατάλληλον εὐκαιρίαν εἰς τὴν πόλιν διὰ νὰ τιμήσῃ σημαίνοντα πρόσωπα καὶ ὁ χῶρος ὅπου οὗτοι ἐτελοῦντο ἦτο ὁ κατάλληλος τόπος διὰ τὴν ἀνακοίνωσιν τῶν σχετικῶν ἀποφάσεων καὶ ψηφισμάτων.

Τὸ ἔτος 73 π.Χ. ἐπικυροῦται δι' ἀποφάσεως τῆς ρωμαϊκῆς συγκλήτου ἡ ὑπὸ τοῦ Σύλλα γενομένη παραχώρησις εἰς τὸ Ἱερὸν τῶν φόρων τῆς πόλεως, τῆς χώρας καὶ τῶν λιμένων τοῦ Ὠρωποῦ, χάριν τῆς τελέσεως ἀγώνων καὶ θυσιῶν [5]. Ἡ δωρεὰ αὕτη τοῦ Σύλλα γίνεται ἡ αἰτία μικρᾶς προσθήκης εἰς τὴν ὀνομασίαν τῶν ἀγώνων, οἱ ὁποῖοι τώρα ὀνομάζονται *Ἀμφιαρᾶα*

---

1 IG II² 3140.
2 SEG XI 338.
3 ΕΠ ἀρ. 44.
4 ΑΕ 1925/26, σ. 38 ἀρ. 152.
5 IG VII 413· Syll.³ 747. Βλ. καὶ ἀνωτέρω σ. 141 ἑξ.

*καὶ Ῥωμαῖα*. Εἰς τοὺς ἀγῶνας αὐτοὺς προστίθεται νέον ἀγώνισμα, τὰ *εὐαγγέλια τῆς Ῥωμαίων νίκης*.

Εἰς τοὺς σῳζομένους καταλόγους τοῦ 1ου π. Χ. αἰῶνος φαίνεται σαφῶς ὁ διεθνὴς πλέον χαρακτὴρ τῶν ἀγώνων [1]. Ἕλληνες ἐξ ὅλων τῶν μερῶν τοῦ κόσμου ἔρχονται διὰ νὰ ἀγωνισθοῦν εἰς τὸ Ἀμφιάρειον, ἐκ τῆς Ἀνατολῆς, τῆς Σικελίας. Τοὺς ἀγῶνας διευθύνει ὁ *ἀγωνοθέτης* τὸν ὁποῖον ὁρίζει ἡ πόλις.

Τὸν 1ον μ. Χ. αἰῶνα οἱ ἀγῶνες μνημονεύονται εἰς ἐπιγραφὴν τῆς Παμφυλίας [2]. Μετὰ κενὸν ἑνὸς αἰῶνος μνημονεύονται, διὰ τελευταίαν φοράν, εἰς ἀττικὰς ἐπιγραφὰς τῆς περιόδου 200-242 μ.Χ., αἱ ὁποῖαι ἀναγράφουν τοὺς ἀγωνοθέτας των [3]. Ὁ Ὠρωπὸς εἶναι διὰ τελευταίαν καὶ ὁριστικὴν φορὰν ὑπήκοος τῶν Ἀθηναίων, οἱ ὁποῖοι ἔχουν πλέον τὴν διοίκησιν τοῦ Ἱεροῦ καὶ τῶν ἀγώνων εἰς χεῖράς των.

Οἱ νικηταὶ εἰς τοὺς ἀγῶνας ὠνομάζοντο *ἱερονῖκαι*, νίκην δὲ εἰς τὰ Ἀμφιαράϊα ὑπονοεῖ καὶ ἐπιτύμβιος στήλη τοῦ Ὠρωποῦ [4] : *Πολύα*[ς] | *Τηλεφά*[ν]*ου*[ς] | [ἱε]*ρονίκ*[ης].

47. Στήλη [5] ἐλλιπὴς ἀριστερὰ καὶ δεξιὰ εἰς τὸ κάτω μέρος ἐκ δύο συγκεκολλημένων τεμαχίων ὕψους 0.73, πλάτους 0.425, πάχους 0.088 μ. Ὕψος γραμμάτων 0.005· στοιχηδὸν 33 (πίν. 63β).

[οἵδε ἐνίκων Ἀμφιαράϊα τ]ὰ *μεγάλ*[α]·
[προσοδίου ποιητὴ]ς *Πάμφιλος Ἀθη*[ναῖος ]·
[κιθαριστὴς παῖς] *Λύσανδρος Θηβαῖ*[ος· αὐλ]-
*ωιδὸς* [παῖς . . . .] *στρατος Σικυώνι· ἀνὴ*[ρ κι]-
[θαριστὴς . . .ο]ς *Θετταλός· ἀνὴρ αὐλωιδὸ*[ς Χ]-
*αρίας Ἀθη*[να]*ῖος· αὐλητὴς Κλείταρχος Ἀθ*[η]-
[ν]*αῖος· κιθαρωιδὸς Κλεόνικος Ἀθηναῖος·*
*σοφιστὴς Πανσίμαχος Ἀθηναῖος·*
*παῖδας δόλιχον Μνησαρχίδης Ἀθηναῖος·*

---

1 Οἱ κατάλογοι τῶν Ἀμφιαρείων καὶ Ῥωμαίων θεωροῦνται γενικῶς ὅτι χρονολογοῦνται μετὰ τὴν ὑπὸ τοῦ Σύλλα κατάληψιν τῶν Ἀθηνῶν. Βλ. REISCH, De musicis graecorum certaminibus, σ. 111. O'CONNOR, A History of Actors and Acting in Ancient Greece, σ. 70-71. Πρβ. MOMMSEN, Hermes 20, 1885, σ. 274 σημ. 4.

2 SEG VI 727.

3 IG II² 2193 στ. 28· 2242 στ. 39-40.

4 IG VII 479· ΛΕΟΝΑΡΔΟΣ, ΑΕ 1925/26 σ. 32 ἀρ. 147 εἰκ. 19.

5 ΛΕΟΝΑΡΔΟΣ, ΑΕ 1923, σ. 46 ἀρ. 125 εἰκ. 3 (ὅπου ἡ παλαιοτέρα βιβλιογραφία)

*ἄνδρας δόλιχον Μάλ*[α]*κος Μακεδών· παῖδας*
*στάδιον ἐξ ἁπάντων Θεόπομπος Κυρηναῖο·*
*ἀγενείους στάδιον Ἀκαρνὰν Ἀθηναῖος· ἄν-*
*δρας στάδιον Ἄνθιππος Ἀργεῖος· παῖδας δ-*
*ίαυλον ἐξ ἁπάντων Ἐπικράτης Λαρισαῖος·*
*πένταθλον ἀγενείους Ἱέρων Ἀργεῖος· δία-*
[υλ]*ον ἄνδρας Θρασυάνωρ Κολοφώνιος· ἵππι-*
[ον] *παῖδας Μνησαρχίδης Ἀθηναῖος· ἵππιον*
*ἄνδρας Θρασυάνωρ Κολοφώνιος· παῖδας πά-*
*λην ἐξ ἁπάντων Ἀρίσταιχμος Ἄνδρι· ἀγενε-*
*ίους πάλην Φιλόνικος Ἀργεῖος· παῖς παγκ-*
*ράτιον Ἀντιφάνης Ἀθηναῖος· ἀνὴρ πάλην Ε-*
*ὐτελίων Φλεάσιος· ἀνὴρ πύκτης Σάτυρος Ἠ-*
*λεῖος· ἀγενείων παγκράτιον Ἀντικράτη-*
*ς Θηβαῖος· ἀγενείους πυγμὴν Ἑστιαῖος Σι-*
*κυωνεύς· ἄνδρας πανκράτιον Σάτυρος Ἠλεῖ-*
*ος· παῖδας πένταθλον Στρατοκλῆς Ἀθηναῖ-*
*ος· παῖδας πυγμὴν Παυσίας Ἀθηναῖος· ἄνδρ-*
*ας πένταθλον Μελάνιππος Φαρσάλιος· ὁπλ-*
[ί]*της Ἄνθιππος Ἀργεῖος· παῖδας στάδιον ἀ-*
*πὸ γυμνασίων Ἀντίβιος Ἀθηναῖος· παῖδας*
[πά]*λην ἀπὸ γυμνασίων Χαρίσανδρος Ἀθηνα·*
*πύκτης παῖς ἀπὸ γυμνασίων Νικόδημος Ἀθ-*
[η]*ναῖος· παῖς πανκράτιον* [ἀπὸ γ]*υμνασίων* [.]
[. .]*ας Ἀθηναῖος· ἡνίοχος* [ἐγβιβάζων . . . . .]
[. . .] *Ἀθηναῖ· ζεύγ*[ει ἀκάμπιον . . . . . Ἀθην]-
[αῖος· ζεύγει δίαυ]*λον Μν*[ή]*σ*[ιππ]*ο*[ς Ἀθηναῖο·]
[συνωρίδι δίαυλον] *Προκλείδ*[η]ς *Ἀ*[θηναῖ· συνωρ]-
[ίδι ἀκάμπιον Κλέα]*νδρο*[ς Ἀθηναῖ]*ο*[ς· συνωρ]-
[ίδι πολεμιστηρί]*αι Ἀρχέ*[τιμος] *Α*[. . . . . ζ]-
[εύγει πολεμιστ]*ηρίωι Δημο*[σθέν]*η*[ς Ἀθηνα·]
[ζεύγη πομπικῶι] *Κίκων Ἀθηναῖο*[ς· κέλητι]
[πολεμιστηρίωι Κ]*λέαρχος Ἀθηνα*[ῖος· ζεύγ]-
[ει πωλικῶι Διοχά]*ρης Ἀθηναῖ· πώλ*[ωι κέλητ]-
[ι . . . . . . . 13 . . . . μ]*υροπό*[λ]*ος· ἵπ*[πωι κέλητ]-
[ι . . . . . . . 13 . . . . ζ]*εύγει τελέω*[ι . . . 7 . . . ]
[. . . . . . . . 16 . . . . . . ] *Ἡγέστρατος Δημοκ*[—]

῾Ο κατάλογος οὗτος εἶναι, ὡς ἐλέχθη, ὁ ἀρχαιότερος σῳζόμενος τῶν ᾿Αμφιαραΐων χρονολογούμενος ὡς ἐκ τοῦ σχήματος τῶν γραμμάτων εἰς τὸν 4ον π.Χ. αἰῶνα καὶ εἰδικώτερον εἰς τὴν περίοδον 366-338 π.Χ. Χαρακτηριστικὸν τῆς περιόδου εἶναι ὅτι οἱ ᾿Αθηναῖοι χρησιμοποιοῦν τὸ ἐθνικὸν ἀντὶ τοῦ δημοτικοῦ [1].

---

1 ῾Ο PREUNER (Hermes 57, 1922, σ. 85-86) ἐχρονολόγησε τὸν κατάλογον εἰς τὴν περίοδον 338-322 π.Χ., διότι ἐβασίσθη εἰς τὴν ἐσφαλμένην ἀνάγνωσιν ἱ]*εροποιὸς* τῆς λέξεως μ]*υροπό*[λ]*ος* τοῦ στ. 44 (βλ. ΛΕΟΝΑΡΔΟΝ, ΑΕ 1923, σ. 48). ᾿Επειδὴ λοιπόν, κατ᾿ αὐτόν, τὴν πεντετηρίδα τοῦ 332/1 διοικοῦν οἱ ἐπιμεληταὶ καὶ ὄχι οἱ ἱεροποιοί, ὁ ἐνταῦθα κατάλογος εἶναι τῆς προηγουμένης πεντετηρίδος, τοῦ 335/4 π.Χ., ὅταν ἄρχων τῶν ᾿Αθηνῶν ἦτο ὁ Εὐαίνετος. Χωρὶς τελικῶς νὰ ἀποκλείεται ἡ χαμηλοτέρα χρονολόγησις τοῦ PREUNER εἶναι προτιμότερον νὰ ἀκολουθήσωμεν τὸν DITTENBERGER, ὁ ὁποῖος ἐκ τῆς γραφῆς καὶ τῆς ἀπουσίας τῶν ἀττικῶν δημοτικῶν ἐχρονολόγησε τὸν κατάλογον εἰς τὰ πρὸ τοῦ 338 ἔτη.

῾Ο ἐνταῦθα δὶς νικητὴς (στ. 22, 25) Σάτυρος ᾿Ηλεῖος ἔχει ταυτισθῆ (βλ. BROMMER, PW Suppl. Bd. VIII, σ. 706) μὲ τὸν ὑπὸ τοῦ ΠΑΥΣΑΝΙΟΥ (VI 4.5) ἀναφερόμενον ὁμώνυμον: *Σάτυρος δὲ ᾿Ηλεῖος Λυσιάνακτος πατρός, γένους δὲ τοῦ ᾿Ιαμιδῶν, ἐν Νεμέᾳ πεντάκις ἐνίκησε πυκτεύων καὶ Πυθοῖ τε δὶς καὶ δὶς ἐν ᾿Ολυμπίᾳ· τέχνη δὲ ᾿Αθηναίου Σιλανίωνος ὁ ἀνδριάς ἐστι.* ῾Η ἐξ ᾿Ολυμπίας χαλκῆ κεφαλὴ πύκτου (LIPPOLD, Griechische Plastik, πίν. 77, 4) πιστεύεται ὡς ἀνήκουσα εἰς τὸν ὑπὸ τοῦ Σιλανίωνος κατασκευασθέντα ἀνδριάντα τοῦ Σατύρου.

## ΑΙ ΔΗΜΟΣΙΕΥΣΕΙΣ ΤΩΝ ΕΠΙΓΡΑΦΩΝ ΤΟΥ ΩΡΩΠΟΥ

Ἡ κατωτέρω βιβλιογραφία περιλαμβάνει κατὰ χρονολογικὴν τάξιν τὰς κυρίας δημοσιεύσεις τῶν ἐπιγραφῶν τοῦ Ὠρωποῦ, αἱ ὁποῖαι καλύπτουν ἅπαν τὸ γνωστὸν ἐπιγραφικὸν ὑλικὸν ἐκ τῆς πόλεως καὶ τοῦ Ἱεροῦ. Παραλείπονται μόνον αἱ πρὸ τοῦ Preller γενόμεναι, αἵτινες καὶ περιλαμβάνονται εἰς τὸν τόμον IG VII. Τὰς ἀναδημοσιεύσεις δύναταί τις νὰ εὕρῃ συμβουλευόμενος ἀφ' ἑνὸς τὰς ἐνταῦθα σημειώσεις ἀφ' ἑτέρου τὰς διαφόρους συλλογὰς τῶν ἑλληνικῶν ἐπιγραφῶν, ὡς καὶ τὸ SEG.


L. Preller, Über Oropos und das Amphiaraeion, Berichte 1852, σ. 140-188.

L. Preller, Nachträge über Oropos, Berichte 1854, σ. 203-208.

